
M. II.

ΠΡΟΧΕΙΡΟΝ ΝΟΜΩΝ

Ἢ

ΕΞΑΒΙΒΛΟΣ ΑΡΜΕΝΟΠΟΥΛΟΥ

ΜΕΤΑ ΤΟΥ ΠΡΩΤΟΤΥΠΟΥ ΚΕΙΜΕΝΟΥ, ΠΑΡΑΦΡΑΣΕΩΣ ΕΙΣ ΤΗΝ ΟΜΙΛΟΥΜΕΝΗΝ, ΣΧΟΛΙΩΝ, ΔΙΑΓΡΑΜΜΑΤΟΣ ΒΑΘΜΩΝ ΣΥΓΓΕΝΕΙΑΣ, ΠΑΡΑΠΟΜΠΩΝ ΕΙΣ ΤΑ ΒΑΣΙΛΙΚΑ, ΑΝΑΛΥΤΙΚΟΥ ΠΙΝΑΚΟΣ, ΚΑΙ.

ΥΠΟ

Ν. ΧΑΡΙΣΙΑΔΟΥ.

ΔΙΚΗΓΟΡΟΥ ΚΑΙ ΚΑΘΗΓΗΤΟΥ ΤΩΝ ΕΜΠΟΡΙΚΩΝ.

Ἄδεια τοῦ Α. Ὑπουργείου τῆς Παιδείας ὑπ' ἀριθ. 862.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡ. ΑΔΕΛΦΩΝ ΚΕΦΑΛΙΔΩΝ.

Γ. ΣΕΪΤΑΝΙΔΗΣ ΒΙΒΛΙΟΠΩΛΗΣ ΚΑΙ ΕΚΔΟΤΗΣ.

1885.

Πᾶν ἀντίτυπον φέρει τὴν ὑπογραφὴν τοῦ Κου Ν. Χαρισιάδου.

Χαρισιάδ

ΠΡΟΛΟΓΟΣ.

Ἀπὸ πέντε περίπου αἰώνων τὸ εὐσύνοπτον ἀλλὰ ἐκλεκτὸν τοῦτο τῶν Νόμων ἀπάνθισμα τὸ λεγόμενον **Πρόχειρον Νόμων** ἢ **Ἑξάβιβλος Ἀρμενοπούλου** διέπει καὶ κανονίζει τὰς ἐννόμους σχέσεις τοῦ Ἡμετέρου Γένους ταῖς ἐν αὐτῷ περιεχομέναις διατάξεσι τῶν Βυζαντινῶν Αὐτοκρατόρων ἀκολουθεῖ ἡ Ὀρθόδοξος Ἐκκλησία καὶ ἐφαρμόζει αὐτὰς πρὸς ῥύθμισιν τῶν εἰς τὴν ἀναφαίρετον καὶ ἀποκλειστικὴν αὐτῆς δικαιοδοσίαν περὶ μνηστείας, γάμου, βαθμῶν συγγενείας, διαζυγίου, υἱοθεσίας, κληρονομίας ἐκ Διαθήκης κλπ. ὑπαγομένων ἐννόμων σχέσεων τῶν ὀρθοδόξων χριστιανῶν· ἐν δὲ τῇ Ἑλλάδι διὰ νόμου τῆς 23 Φεβρουαρίου 1835 ἐκηρύχθη ἡ **Ἑξάβιβλος τοῦ Ἀρμενοπούλου** ὡς ὁ Πολιτικὸς (Ἀστυκὸς) τοῦ Κράτους Κώδιξ.

Τοιαύτης ἐξαιρετικῆς καὶ ὑπερόχου μοίρας τυχούσης τῆς **Ἑξαβίβλου** ἐπόμενον ἦτο ν' ἀναφανῶσι διάφοροι αὐτῆς ἐκδόσεις ἐν Βενετίᾳ, ἐν Γερμανίᾳ, ἐν Ἑλλάδι κλπ. Ἐργασθέντες δὲ ἐπὶ τῆς τελευταίας τῶν Ἀθηνῶν ἐκδόσεως, ἥτις ἤδη καὶ ἐξηντλήθη, καὶ φιλοτιμούμενοι τό γε ἐφ' ἡμῖν ν' ἀναφανῶμεν χρήσιμοι καὶ τοῖς ἐν Ἑλλάδι καὶ τοῖς ἐν Τουρκίᾳ, ἐπιχειρήσαμεν τῇ παρούσῃ ἐκδόσει εἰς τὰς ἀνάγκας καὶ ἀπαιτήσεις τῶν μελλόντων νὰ συμβουλευθῶσιν αὐτὴν ἀφορῶντες. Διὸ γινώσκοντες ὅτι ἡ γλῶσσα τοῦ κειμένου τυγχάνει πολλοῖς δυσνόητος καὶ δύσληπτος, τούτου ἕνεκεν παρεθέσαμεν ἀπέναντι τοῦ πρωτοτύπου κειμένου πλήρη εἰς τὴν ὁμιλουμένην παράφρασιν, ἐν ᾗ ἐτηρήθη πιστῶς καὶ τὸ πνεῦμα καὶ τὸ γράμμα αὐτοῦ καθὸ νομίζοντες ὅτι προκειμένου

περὶ παραφράσεως νόμων ἡ ἐλαχίστη ἀλλοίωσις διαστρέφει αὐτοὺς, προστάτας τῆς τιμῆς καὶ τῆς περιουσίας τῶν πολιτῶν ὄντας. Ἀσμένως δὲ ὁμολογοῦμεν ὅτι τὰ μάλιστα πρὸς τοῦτο ἐβοηθήθημεν ὑπὸ τῶν ἔργων τοῦ ἀοιδήμου νομομαθοῦς καὶ Προέδρου τοῦ Ἀρείου Πάγου Κου Κ. Κλονάρη, ᾧ καὶ ἠκολουθήσαμεν ἐν τοῖς σχολίοις.

Πρὸς διευκόλυνσιν τῶν ἐπιθυμούντων νὰ προσδράμωσιν εἰς τὰς πηγὰς καὶ συμβουλευθῶσι τὰς εὐρυτέρας τῶν Νόμων Συλλογὰς, ἀφ' ὧν καὶ ἡ τῆς **Ἑξαβίβλου** ἀπάνθισις ἐγένετο, ἐποιήσαμεν ἀνὰ πᾶν σχεδὸν ἄρθρον τὴν προσήκουσαν εἰς τὰ **Βασιλικὰ** παραπομπὴν κατὰ τὴν ἔκδοσιν τοῦ Heimbach.

Χάριν δ' εὐχερεστέρας ἀνευρέσεως τῶν βαθμῶν τῆς συγγενείας εἴτε ἐπὶ τῶν κωλυμάτων τοῦ γάμου εἴτε ἐπὶ τῶν τάξεων τῶν κληρονόμων προσεθέσαμεν τὸ Διάγραμμα ἢ τὸ τοῦ Ἰουστινιανοῦ καλούμενον **στέμμα.** Διὰ δὲ τῶν ἐν τῇ **Ἑξαβίβλῳ** ὑπαρχουσῶν σαφῶν καὶ ἱκανῶς ἐπεξηγηματικῶν διατάξεων καὶ τῇ βοηθείᾳ τοῦ διαγράμματος τούτου δύναταί τις πᾶσαν αὐτοῦ ἀπορίαν ὡς πρὸς τοὺς βαθμοὺς τῆς συγγενείας νὰ λύσῃ χωρὶς νὰ προσφύγῃ εἰς βοηθήματα οὐδὲν νομοθετικὸν κῦρος ἔχοντα πλὴν τῆς ἥκιστα πιθανῶς αὐθεντικῆς τοῦ γράφοντος γνώμης· ἄλλως τὸ τοιοῦτον εἶναι ἀντικείμενον συγγραμμάτων, ὡς τὰ τῶν ἡμετέρων νομομαθῶν Κων Καλλιγᾶ, Παπαρρηγοπούλου, Κρασσᾶ, κλπ. οὐχὶ δὲ ἐκδόσεως συλλογῆς Νόμων, ἐν ᾗ δὲν ἐπιτρέπεται νὰ προστεθῇ τι μὴ φέρον κῦρος νομοθετικόν.

Ἐν τέλει προσηρτήθη ἐκτενὴς ἀναλυτικὸς πίναξ, δι' οὗ νομίζομεν ὅτι τὰ μάλιστα ὁ ἀναγνώστης διευκολυνθήσεται εἰς ἀνεύρεσιν πασῶν τῶν σχετικῶν διατάξεων.

ΠΙΝΑΞ ΤΗΣ ΕΞΑΒΙΒΛΟΥ.

Κριτῶν προκατάστασις ἢ περὶ δικαιοσύνης. . . . . Σελ. 2
Προθεωρία . . . . . » 10

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ νόμων καὶ δικαστικῆς καταστάσεως, ἔτι τε περὶ ἀποκαταστάσεως καὶ ἐλευθεριῶν.

ΤΙΤΛ. Α'. Περὶ νόμων . . . . . » 16
» Β'. Περὶ ἐνάγοντος καὶ ἐναγομένου. . . . » 28
» Γ'. Περὶ ἀγωγῶν καὶ χρόνων . . . . . » 46
» Δ'. Περὶ δικαστικῆς ψήφου καὶ ἀποφάσεως . » 68
» Ε'. Περὶ μηνυτῶν . . . . . » 92
» ΣΤ'. Περὶ μαρτύρων . . . . . » 92
» Ζ'. Περὶ ὅρκου . . . . . » 106
» Η'. Περὶ συμβολαίων. . . . . » 110
» Θ'. Περὶ συμφώνων . . . . . » 114
» Ι'. Περὶ διαλύσεως . . . . . » 124
» ΙΑ'. Περὶ ἀνάγκης καὶ βίας. . . . . » 130
» ΙΒ'. Περὶ ἀνήβων καὶ ἀφηλίκων, ἐν ᾧ καὶ περὶ
» ἀποκαταστάσεως . . . . . » 132
» ΙΓ'. Περὶ γυναικῶν. . . . . » 148
» ΙΔ'. Περὶ δούλων . . . . . » 158
» ΙΕ'. Περὶ ἀσαφοῦς καὶ ἀμφιβόλου. . . . . » 164
» ΙΣΤ'. Περὶ στρατιωτῶν. . . . . » 168
» ΙΖ'. Περὶ λύσεως ὑπεξουσιότητος. . . . . » 172
» ΙΗ'. Περὶ ἐλευθεριῶν . . . . . » 178

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ δικῶν διαφόρων καὶ καινοτομιῶν.

ΤΙΤΛ. Α'. Περὶ νομῆς καὶ δεσποτείας . . . . . Σελ. 192
» Β'. Περὶ ἀναργυρίας . . . . . » 212
» Γ'. Περὶ ἀπαιτήσεως καὶ ἀπωλείας . . . » 218
» Δ'. Περὶ καινοτομιῶν . . . . . » 222
» Ε'. Περὶ λειτουργιῶν, τελῶν καὶ κομμερκίου. » 294
» ΣΤ'. Περὶ μερίδων ἐν ᾧ καὶ περὶ εὑρέσεως θη-
» σαυροῦ . . . . . » 298
» Ζ'. Περὶ τῶν ἐν ναυαγίῳ ῥιπτομένων καὶ περὶ
» δικαίου ὑποστροφῆς . . . . . » 300
» Η'. Περὶ υἱοθεσίας . . . . . » 302
» Θ'. Περὶ τῶν προσφευγόντων . . . . . » 304
» Ι'. Περὶ χρήσεως . . . . . » 306
» ΙΑ'. Περὶ ναυτικῶν . . . . . » 310

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Περὶ ἐκποιήσεως, δανείου τε καὶ κοινωνίας.

» Α'. Περὶ δωρεῶν . . . . . » 320
» Β'. Περὶ ἀνατροπῆς δωρεῶν . . . . . » 326
» Γ'. Περὶ πράσεως καὶ ἀγορᾶς ἐν ᾧ καὶ περὶ
» προτιμήσεως . . . . . » 326
» Δ'. Περὶ ἐμφυτεύσεως . . . . . » 363
» Ε'. Περὶ δανείου καὶ ἐνεχύρου . . . . . » 372
» ΣΤ'. Περὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν . . . » 402
» Ζ'. Περὶ τόκου . . . . . » 410
» Η'. Περὶ μισθώσεως ἐν ᾧ περὶ ἐργολάβων . . » 416
» Θ'. Περὶ παρακαταθήκης . . . . . » 430
» Ι'. Περὶ κοινωνίας . . . . . » 436
» ΙΑ'. Περὶ λύσεως κοινωνίας . . . . . » 442

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Περὶ μνηστείας καὶ γάμων.

ΤΙΤΛ. Α'. Περὶ συναινέσεως μνηστείας . . . . . Σελ. 444
» Β'. Περὶ ἀῤῥαβώνων μνηστείας . . . . . » 452
» Γ'. Περὶ δωρεῶν μνηστείας . . . . . » 458
» Δ'. Περὶ ὅρου καὶ διαθέσεως γάμου . . . . » 462
» Ε'. Περὶ ἀκριβείας γάμου . . . . . » 470
» ΣΤ'. Περὶ προγαμιαίας δωρεᾶς . . . . . » 470
» Ζ'. Περὶ γάμων κεκωλυμένων . . . . . » 474
» Η'. Περὶ συναφείας γάμων καὶ βαθμῶν συγγενείας » 488
» Θ'. Περὶ δευτερογαμούντων . . . . . » 496
» Ι'. Περὶ δικαίου προικός . . . . . » 514
» ΙΑ'. Περὶ ἐκδικήσεως προικὸς καὶ τῶν βαρῶν αὐτῆς » 536
» ΙΒ'. Περὶ ἐξωπροίκων . . . . . » 542
» ΙΓ'. Περὶ ὑποβόλου . . . . . » 544
» ΙΔ'. Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός. » 548
» ΙΕ'. Περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτῆς » 552

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Περὶ Διαθηκῶν καὶ Ἐπιτρόπων.

» Α'. Περὶ διαθήκης αὐτεξουσίων . . . . . » 568
» Β'. Περὶ διαθήκης ὑπεξουσίων . . . . . » 584
» Γ'. Περὶ διαθήκης ἀπελευθέρων . . . . . » 586
» Δ'. Περὶ διαθήκης ἐπισκόπων καὶ μοναχῶν . » 590
» Ε'. Περὶ ἀνατροπῆς διαθήκης . . . . . » 592
» ΣΤ'. Περὶ μέμψεως καὶ ἐναντιώσεως διαθήκης . » 598
» Ζ'. Περὶ κωδικέλλου . . . . . » 600
» Η'. Περὶ κληρονόμων . . . . . » 602
» Θ'. Περὶ φαλκιδίου . . . . . » 642
» Ι'. Περὶ ἀποκλήρων . . . . . » 656
» ΙΑ'. Περὶ ληγάτου . . . . . » 674
» ΙΒ'. Περὶ ἐπιτρόπων, κουρατόρων καὶ διοικητῶν » 688

ΤΙΤΛ. ΙΓ. Περὶ τοῦ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς
» κατὰ τῶν κληρονόμων τοῦ τελευτήσαντος Σελ. 702

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Περὶ ζημίας καὶ ποινῶν.

» Α΄. Περὶ ζημίας . . . . . » 704
» Β΄. Περὶ μοιχῶν . . . . . » 708
» Γ΄. Περὶ πορνῶν καὶ τῶν ἐκβιαζόντων παρθένους » 718
» Δ΄. Περὶ αἱμομικτῶν, ἀσελγῶν καὶ ἀλογευομένων » 722
» Ε΄. Περὶ κλεπτῶν, ἁπελατῶν, τυμβωρύχων καὶ
» ἱεροσύλων . . . . . » 724
» ΣΤ΄. Περὶ φονέων καὶ λῃστῶν . . . . . » 728
» Ζ΄. Περὶ τῶν ἁρπαζόντων . . . . . » 734
» Η΄. Περὶ αὐτομόλων καὶ ἀνδραποδιστῶν . . . » 738
» Θ΄. Περὶ συκοφαντῶν καὶ τῶν φλυαρίαν εὑρι-
» σκόντων . . . . . » 740
» Ι΄. Περὶ φαρμακῶν, γοητῶν καὶ μάντεων . . » 742
» ΙΑ΄. Περὶ Ἰουδαίων, Ἑλληνιζόντων καὶ Αἱρετικῶν » 744
» ΙΒ΄. Περὶ δούλων καὶ τῶν ἐμπρησμοὺς ποιούντων » 746
» ΙΓ΄. Περὶ τῶν ἀλλοτρίους ὑποδεχομένων δούλους
» καὶ τῶν ἐκποιούντων ἐλευθέρους . . » 748
» ΙΔ΄. Περὶ διαφόρων ποινῶν. . . . . » 748
» ΙΕ΄. Περὶ τοῦ τίνες ἀτιμοῦνται. . . . . » 754

ΕΤΕΡΟΙ ΤΙΤΛΟΙ ΔΙΑΦΟΡΟΙ.

» Α΄. Περὶ ἀξιωμάτων. . . . . » 756
» Β΄. Περὶ κανόνων διαφόρων . . . . . » 758
» Γ΄. Περὶ σημασίας ὀνομάτων. . . . . » 772
» Δ΄. Περὶ χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων » 784
Διάγραμμα βαθμῶν συγγενείας. . . . . » 472
Ἀναλυτικὸς Πίναξ. . . . . » 801

ΠΡΟΧΕΙΡΟΝ ΝΟΜΩΝ

ΤΟ ΛΕΓΟΜΕΝΟΝ Η ΕΞΑΒΙΒΛΟΣ

ΣΥΝΑΘΡΟΙΣΘΕΝ ΠΑΝΤΟΘΕΝ ΚΑΤ' ΕΚΛΟΓΗΝ ΚΑΙ ΚΑΤ' ΕΠΙΤΟΜΗΝ

ΟΥΤΩ ΣΥΝΤΕΘΕΝ ΠΑΡΑ ΤΟΥ ΠΑΝΣΕΒΑΣΤΟΥ

ΝΟΜΟΦΥΛΑΚΟΣ ΚΑΙ ΚΡΙΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΚΥΡΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΑΡΜΕΝΟΠΟΥΛΟΥ.

ΚΡΙΤΩΝ ΠΡΟΚΑΤΑΣΤΑΣΙΣ(α)

Ἢ

ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

Ὁ κρίνειν λαχὼν καὶ κριτὴς εἶναι καὶ ὀνομάζεσθαι, εἴγε βούλοιτο τὴν καλλίστην ταύτην προσηγορίαν μὴ καταισχῦναι, ἣν καὶ Θεὸς αὐτὸς καλεῖσθαι προσίεται, καὶ τὸν ὄντως ὄντα κριτὴν ἕλεων ἐν τῇ φοβερᾷ τῆς κρίσεως εὑρεῖν ἡμέρᾳ, τὸν ἀδέκαστον, τὸν ἀπροσωπόληπτον, τὸν ἀπαραλόγιστον, τὸν μόνον δίκαιον, καὶ δίκαια ἑκάστῳ παρέξοντα κατ' ἀξίαν τῶν ἐνταῦθα βεβιωμένων· ἐκεῖνο πρότερον ἐντεθυμημένος ἔστω, ὡς δι' οὐδὲν ἕτερον, ἢ δικαιοσύνης ἐπιμέλεσθαι καὶ τὰ δίκαια παρέχειν ἑκάστῳ, προκάθηται· ἀποσοβεῖν τε τὴν ἀδικίαν, καὶ τῶν ἀνθρώπων ἀποπέμπειν ταύτην ὡς πορρωτάτω, καὶ τοὺς ταύτῃ κακῶς προσανέχοντας ὡς οἷόν τε τιμωρεῖν, ὡς οὐ λήσων Θεόν, οὕτως ἢ ἑτέρως πολιτευόμενος· Θεὸν γὰρ ἄνθρωπος λανθάνειν οὐ δύναται, μὴ ὅτι γε ἀδικῶν, ἀλλ' οὐδὲ διανοούμενος. Δικαιοσύνη δέ ἐστιν, ἣν ὁ Θεὸς δίκαιος ὢν διαφερόντως ἠσπάσατο, καὶ ᾗπερ, ὡς οὐδενὶ τῶν ἄλλων, αὐτὸς θεραπεύεται· ἥτις καὶ ἐξ οὐρανοῦ διακύψαι λέγεται, καὶ ἐνώπιον Θεοῦ προπορεύεσθαι, καὶ ἣν ὑψοῦν

(α) Καὶ ἡ προκατάστασις αὕτη ἐγράφη ἀπὸ τὸν συντάξαντα τὸ βιβλίον.

ΚΡΙΤΩΝ ΠΡΟΚΑΤΑΣΤΑΣΙΣ

Ἢ

ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

Ὁ διορισθεὶς νὰ δικάζῃ καὶ νὰ ἦναι καὶ νὰ ὀνομάζηται κριτής, ἐὰν θέλῃ νὰ μὴ καταισχύνῃ τὴν καλλίστην ταύτην προσηγορίαν, τὴν ὁποίαν καὶ αὐτὸς ὁ Θεὸς ἀποδέχεται, καὶ νὰ εὕρῃ εὐμενῆ κατὰ τὴν φοβερὰν τῆς κρίσεως ἡμέραν τὸν ἀληθῆ κριτήν, τὸν ἀδέκαστον, τὸν ἀπροσωπόληπτον, τὸν ἀπαραλόγιστον, τὸν μόνον δίκαιον, καὶ δίκαια μέλλοντα νὰ ἀποδώσῃ εἰς ἕκαστον κατ' ἀξίαν τῶν ἐνταῦθα πράξεων του· ἐκεῖνο πρὸ παντὸς ὀφείλει νὰ ἐνθυμῆται, ὅτι δι' οὐδὲν ἄλλο κάθηται ἐπὶ τῆς δικαστικῆς ἕδρας, εἰ μὴ διὰ νὰ ἐπιμελῆται τὴν δικαιοσύνην καὶ ν' ἀποδίδῃ εἰς ἕκαστον τὰ δίκαια· τὴν δὲ ἀδικίαν νὰ ἀπωθῇ, καὶ ἀποδιώκῃ μακρὰν τῶν ἀνθρώπων, καὶ νὰ τιμωρῇ κατὰ τὸ πρέπον τοὺς παρανομοῦντας, ὡς μὴ δυνάμενος ν' ἀπατήσῃ τὸν Θεόν, οὕτως ἢ ἄλλως φερόμενος· διότι ἀδύνατον ἄνθρωπος νὰ λανθάνῃ τὸν Θεόν, οὐ μόνον ἀδικῶν, ἀλλ' οὐδὲ διανοούμενος. Δικαιοσύνη δὲ εἶναι ἐκείνη, τὴν ὁποίαν ὁ Θεὸς ὡς δίκαιος κατ' ἐξοχὴν ἠγάπησε, καὶ τὴν ὁποίαν ὑπὲρ πᾶν ἄλλο ἐπιμελεῖται· ἥτις καὶ ἀπὸ τὸν οὐρανὸν λέγεται

καὶ ἔθνη καὶ ἀκούομεν καὶ πιστεύομεν. Ταῦτ' ἄρα καὶ ἐν παντὶ καιρῷ ποιεῖν αὐτὴν ἀπαιτούμεθα, ὡς ὑψοποιὸν καὶ θεοφιλῆ καὶ σωτήριον. Εἴθ' οὕτω καὶ τάδε διανοείσθω καὶ τοῖς λογισμοῖς περιστρεφέτω, πρὸς τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν εἰρημένα, τοῦ ἀληθινοῦ Θεοῦ καὶ δικαίου τῶν ὅλων κριτοῦ. «*Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε*» καὶ «*Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται*·» εἴτε τὴν ἐνταῦθα βούλει τροφὴν τὴν ἐπίκηρον καὶ μὴ παραμένουσαν, εἴτε τὴν μέλλουσαν τρυφὴν μᾶλλον εἰπεῖν ἡ τροφήν, τὴν ἡδίστην τε καὶ ἀδάπανον, ἣν καὶ νῦν ἐν οὐρανοῖς αἱ οὐράνιαι πᾶσαι τρυφῶσι δυνάμεις. Τούτων οὕτω παρὰ τοῦ Σωτῆρος εἰρημένων, ὧν καὶ μεμνῆσθαι χρεὼν ἑκάστοτε τὸν κριτήν, καὶ ἃ τοῖς λογισμοῖς περιστρέφειν, ὡς ὁ ἐμὸς λόγος, ὁ μύστης καὶ μυσταγωγὸς τῶν τοιούτων, τὸν μέγαν λέγω Βασίλειον, τούτοις ἑπόμενος, οὕτω δήπου καὶ αὐτός φησιν· «*Ὁ τὴν ἀληθῆ δικαιοσύνην μὴ ἔχων προεναποκειμένην αὐτοῦ τῇ ψυχῇ ἀλλ' ἢ χρήμασι διεφθαρμένος, ἢ φιλίᾳ χαριζόμενος, ἢ ἔχθρᾳ ἀμυνόμενος, ἢ δυναστείαν δυσωπούμενος, τὸ κρίμα κατευθύνειν οὐ δύναται*·» καί τις τῶν παλαιῶν οὕτως εἰσηγούμενος λέγει· «*εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογουμένων ἐπιγίνωσκε· ἀλλ' αὐτὴν τὴν ἀλήθειαν.*» Σολωμὼν δὲ ὁ θαυμάσιος τῆς πλεονεξίας ἀπείργων ἡμᾶς, καὶ τῶν μὴ καθηκόντων κερδῶν, «*κρεῖσσων, φησίν, ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας*·» ὅτι *χρήματα ἀδίκων*, ὥς φησι Σιράχ, *ὡς ποταμὸς ξηρανθήσεται καὶ ὡς βροντὴ ἐν ὑετῷ ἠχήσει*». Διατί; ὅτι πᾶς ἀδικούμενος, ὥς φησι Κύριλλος, «*καταφλέγεται μὲν ὑπὸ λύπης, ἀμύνασθαι δὲ οὐκ ἔχων, ἢ διὰ τῶν ἴσων ἐλθεῖν, ἐσθ' ὅτε διὰ τὸ ἡττᾶσθαι τῆς τοῦ ἀντιδίκου χειρός, τῆς ἄνωθεν μισοπονηρίας τὸ κέντρον καλεῖ πρὸς ἐπικουρίαν*». Τί οὖν ἐντεῦθεν συμβαίνει; τοῦ Σωτῆρος καὶ πάντα καιρὸν ὀφείλομεν ν' ἀσκῶμεν αὐτὴν, ὡς ὑψωτικὴν καὶ θεοφιλῆ καὶ σωτήριον. Ἔπειτα ὀφείλει νὰ συλλογίζηται καὶ νὰ περιστρέφῃ εἰς τὴν διάνοιαν αὐτοῦ καὶ ταῦτα, τὰ ὁποῖα εἶπεν ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν, ὁ ἀληθινὸς Θεὸς καὶ δίκαιος τῶν ὅλων κριτής. «*Μὴ δικάζετε φιλοπροσώπως, ἀλλὰ κρίνετε δικαίως*». καὶ «*Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ θέλουσι χορτάσει*»· εἴτε τὴν ἐνταῦθα τροφήν, τὴν πρόσκαιρον καὶ μὴ διαμένουσαν θέλεις νὰ εἴπῃς, εἴτε τὴν μέλλουσαν τρυφὴν μᾶλλον παρὰ τροφήν, τὴν γλυκυτάτην καὶ ἀδάπανον, τὴν ὁποίαν καὶ τώρα τρυφῶσιν ὅλαι αἱ οὐράνιοι δυνάμεις. Ταῦτα ἀφοῦ οὕτω εἶπεν ὁ Σωτήρ, τὰ ὁποῖα καὶ νὰ ἐνθυμῆται ἑκάστοτε ὀφείλει ὁ δικαστής, καὶ εἰς τὴν διάνοιαν αὐτοῦ νὰ περιστρέφῃ, ὡς προεῖπον, ὁ μύστης καὶ μυσταγωγὸς τῶν τοιούτων, ὁ μέγας λέγω Βασίλειος, ταῦτα ἀκολουθῶν, οὕτω καὶ αὐτὸς λέγει που· «*Ὅστις δὲν ἔχει τὴν ἀληθῆ δικαιοσύνην προεναποκειμένην εἰς τὴν ψυχὴν αὐτοῦ, ἀλλ' ἢ διὰ χρημάτων διεφθάρη ἢ εἰς φιλίαν χαρίζηται, ἢ ἔχθραν ἐκδικεῖται, ἢ δυναστείαν φοβεῖται, δὲν δύναται τὰ κρίνῃ δικαίως*»· καί τις τῶν παλαιῶν γνωμοδοτῶν λέγει οὕτω. «*Ἐὰν θέλῃς νὰ κάμνῃς τὰς κρίσεις δικαίας, μὴ λάβῃς ὑπ' ὄψιν κανένα ἐκ τῶν δικαζομένων καὶ δικαιολογουμένων, ἀλλ' αὐτὴν τὴν ἀλήθειαν*»· Σολομὼν δ' ὁ θαυμάσιος ἀποτρέπων ἡμᾶς ἀπὸ τὴν πλεονεξίαν καὶ τ' ἄδικον κέρδος «*προτιμοτέρα λέγει ὀλίγη ἀπολαυὴ μετὰ δικαιασύνης, παρὰ πολλὰ ἀποκτήματα μετὰ ἀδικίας.*» «*ὅτι χρήματα ἀδίκων, ὡς λέγει Σιράχ, θέλουσι ξηρανθῆ ὡς ποταμοί, καὶ θέλουσιν ἠχήσει ὡς βροντὴ ἐν καιρῷ βροχῆς.*» Διατί; ὅτι πᾶς ἀδικούμενος, κατὰ Κύριλλον, «*καταφλέγεται μὲν ὑπὸ λύπης, μὴ δυνάμενος δὲ νὰ ὑπερασπισθῇ ἢ νὰ ἀντεπεξέλθῃ διὰ τῶν ἴσων, ὡς ἀδυνατώτερος τοῦ ἀντιδίκου αὐτοῦ, καλεῖ εἰς βοήθειαν τὸ κέντρον τῆς ἄνωθεν μισοπονηρίας*». Τί λοιπὸν συμ-

ὅτι προέβαλε, καὶ ἐνώπιον τοῦ Θεοῦ ὅτι προπορεύεται, καὶ ἥτις καὶ ἔθνη καὶ ἀκούομεν καὶ πιστεύομεν ὅτι ἀνυψοῖ. Διὸ καὶ εἰς πάντα καιρὸν ὀφείλομεν ν' ἀσκῶμεν αὐτὴν, ὡς ὑψωτικὴν καὶ θεοφιλῆ καὶ σωτήριον. Ἔπειτα ὀφείλει νὰ συλλογίζηται καὶ νὰ περιστρέφῃ εἰς τὴν διάνοιαν αὐτοῦ καὶ ταῦτα, τὰ ὁποῖα εἶπεν ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν, ὁ ἀληθινὸς Θεὸς καὶ δίκαιος τῶν ὅλων κριτής. «*Μὴ δικάζετε φιλοπροσώπως, ἀλλὰ κρίνετε δικαίως*». καὶ «*Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ θέλουσι χορτάσει*»· εἴτε τὴν ἐνταῦθα τροφήν, τὴν πρόσκαιρον καὶ μὴ διαμένουσαν θέλεις νὰ εἴπῃς, εἴτε τὴν μέλλουσαν τρυφὴν μᾶλλον παρὰ τροφήν, τὴν γλυκυτάτην καὶ ἀδάπανον, τὴν ὁποίαν καὶ τώρα τρυφῶσιν ὅλαι αἱ οὐράνιοι δυνάμεις. Ταῦτα ἀφοῦ οὕτω εἶπεν ὁ Σωτήρ, τὰ ὁποῖα καὶ νὰ ἐνθυμῆται ἑκάστοτε ὀφείλει ὁ δικαστής, καὶ εἰς τὴν διάνοιαν αὐτοῦ νὰ περιστρέφῃ, ὡς προεῖπον, ὁ μύστης καὶ μυσταγωγὸς τῶν τοιούτων, ὁ μέγας λέγω Βασίλειος, ταῦτα ἀκολουθῶν, οὕτω καὶ αὐτὸς λέγει που· «*Ὅστις δὲν ἔχει τὴν ἀληθῆ δικαιοσύνην προεναποκειμένην εἰς τὴν ψυχὴν αὐτοῦ, ἀλλ' ἢ διὰ χρημάτων διεφθάρη ἢ εἰς φιλίαν χαρίζηται, ἢ ἔχθραν ἐκδικεῖται, ἢ δυναστείαν φοβεῖται, δὲν δύναται τὰ κρίνῃ δικαίως*»· καί τις τῶν παλαιῶν γνωμοδοτῶν λέγει οὕτω. «*Ἐὰν θέλῃς νὰ κάμνῃς τὰς κρίσεις δικαίας, μὴ λάβῃς ὑπ' ὄψιν κανένα ἐκ τῶν δικαζομένων καὶ δικαιολογουμένων, ἀλλ' αὐτὴν τὴν ἀλήθειαν*»· Σολομὼν δ' ὁ θαυμάσιος ἀποτρέπων ἡμᾶς ἀπὸ τὴν πλεονεξίαν καὶ τ' ἄδικον κέρδος «*προτιμοτέρα λέγει ὀλίγη ἀπολαυὴ μετὰ δικαιασύνης, παρὰ πολλὰ ἀποκτήματα μετὰ ἀδικίας.*» «*ὅτι χρήματα ἀδίκων, ὡς λέγει Σιράχ, θέλουσι ξηρανθῆ ὡς ποταμοί, καὶ θέλουσιν ἠχήσει ὡς βροντὴ ἐν καιρῷ βροχῆς.*» Διατί; ὅτι πᾶς ἀδικούμενος, κατὰ Κύριλλον, «*καταφλέγεται μὲν ὑπὸ λύπης, μὴ δυνάμενος δὲ νὰ ὑπερασπισθῇ ἢ νὰ ἀντεπεξέλθῃ διὰ τῶν ἴσων, ὡς ἀδυνατώτερος τοῦ ἀντιδίκου αὐτοῦ, καλεῖ εἰς βοήθειαν τὸ κέντρον τῆς ἄνωθεν μισοπονηρίας*». Τί λοιπὸν συμ-

λιν ἀκούσωμεν λέγοντος, «ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται »ὑμῖν»· τούτῳ δὲ καὶ ὁ Νύσσης Γρηγόριος ἑπόμενος, «ἡ τοῦ »Θεοῦ, φησὶ, δικαιοκρισία ταῖς ἡμετέραις διαθέσεσιν ἐξο»μοιοῦται, καὶ οἷά περ ἂν τὰ παρ' ἡμῶν ᾖ, τοιαῦτα ἡμῖν ἐκ »τῶν ὁμοίων παρέχεται». Πλὴν οὔτε πάντας ἀπαιτεῖ ἐνταῦθα δίκην ὁ Θεός, ὡς ὁ χρυσορρήμων φησὶν Ἰωάννης, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν, καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα εἶναι τὰ πάντα νοήσῃς. Εἶεν, ἀκούσωμεν δὲ καὶ ὅ,τι Πλάτων φησὶν ὁ φιλόσοφος· φησὶ δέ· «τίμιος μὲν καὶ ὁ μηδένα ἀδικῶν· ὁ δὲ μὴ ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀνάξιος ἕτερος»· περὶ τῶν δυναμένων πάντως, εἴτε ἄρχοντες εἶεν εἴτε κριταί, ταῦτα λέγων τε καὶ ἀποφαινόμενος. Καὶ τούτους δὲ ἄξιον ἐπαινεῖν τῶν ἀνθρώπων, φησὶ Δημοσθένης, «οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου· »χρήματα μὲν γάρ ἐστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥᾴδιον πρίασθαι.» Οὕτω δὲ ἔχων ὁ τούτοις ἑπόμενος, καὶ ταύτῃ πολιτευόμενος, πεποιθέτω μὲν καὶ ὡς λέων, ἴστω δ' ὅτι καὶ «ὥσπερ εὖ»θὺς ζυγός, οὔτε πρὸς ἀλήθειαν εὐθύνεται ζυγοῦ, οὐθ' ὑπὸ ψευ»δοῦς κρίνεται· οὕτω καὶ δίκαιος κριτὴς οὐθ' ὑπὸ δικαίων κρί»νεται, οὔτε παρ' ἀδίκων δικάζεται,» φησὶν Ἐπίκτητος. «Ἄ»μεινον δὲ καὶ δικαίως κρίνανται πρὸς τοῦ καταδικασθέντος ἀ»δίκως μεμφθῆναι, ἢ ἀδίκως κρίνανται παρὰ τοῦ καταδικασθέν»τος δικαίως ᾠήσεσθαι». Μακαρισθήσεται γὰρ πρὸς τοῦ Σωτῆρος καὶ τότε, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπαγγελθήσεται λήψεσθαι· «μακάριοι γάρ, φησὶν, οἱ δεδιωγμένοι ἕνεκεν δι»καιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν Οὐρανῶν». Δίκαιος δὲ ὢν καὶ καὶ δικαιοσύνης φροντίζων τίνων τεύξεται, καὶ τίνα κληρονομήσει, ὅλην τὴν ἡμέραν αὐτὸς μὲν ἐλεῶν καὶ δανείζων; εἰς εὐλογίαν δὲ ἔσται τούτου τὸ σπέρμα, ἀνθήσει τε ὡσεὶ φοινιξ, καὶ ὡσεὶ κέδρος πληθυνθήσεται· τούτου οὔτε ἡ ἐλπὶς

βαίνει ἐκ τούτου; καὶ πάλιν ἀκούσωμεν τοῦ Σωτῆρος λέγοντος, «Μὲ ὅ,τι μέτρῳ μετρεῖτε, θέλετε ἀντιμετρηθῆ καὶ ὑμεῖς;» Τοῦτο ἀκολουθῶν καὶ ὁ Νύσσης Γρηγόριος «ἡ τοῦ Θεοῦ, λέγει, δικαιοκρισία ἐξομοιοῦται μὲ τὰς διαθέσεις ἡμῶν, καὶ ὁποῖα εἶναι τὰ παρ' ἡμῶν πραττόμενα, τοιαῦτα μᾶς ἀποδίδει ἐκ τῶν ὁμοίων.» Πλὴν δὲν τιμωρεῖ ὁ Θεὸς ἐνταῦθα ὅλους, ὡς λέγει ὁ χρυσορρήμων Ἰωάννης, ἵνα μὴ ἀπολέσῃς τὴν προσδοκίαν τῆς ἀναστάσεως καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς ὅλων διδόντων ἐνταῦθα λόγον· οὐδὲ ὅλους ἀφίνει ν' ἀπέρχωνται ἀτιμώρητοι, ἵνα μὴ πάλιν θεωρήσῃς ὅτι τὰ πάντα εἶναι ἀπρονόητα. Ἔστω, ἀκούσωμεν δὲ καὶ ὅ,τι λέγει Πλάτων ὁ φιλόσοφος. «Τίμιος μὲν εἶναι καὶ ὁ μὴ ἀδικῶν κανένα· ὁ δὲ μὴ ἐπιτρέπων εἰς τοὺς ἀδικοῦντας νὰ ἀδικῶσιν, εἶναι ἄξιος διπλασίας τιμῆς· διότι ὁ μὲν εἶναι ἑνός, ὁ δὲ πολλῶν ἄλλων ἀνάξιος». Ταῦτα βεβαίως λέγει καὶ ἀποραίνεται περὶ τῶν δυνατῶν εἴτε ἄρχοντες εἶναι, εἴτε δικασταί. Καὶ τούτους τοὺς ἀνθρώπους εἶναι ἄξιον νὰ ἐπαινῶμεν, λέγει ὁ Δημοσθένης, «οἵτινες προτιμῶσι τὸν δίκαιον ἀπὸ πᾶσαν ὠφέλειαν· διότι χρήματα μὲν δυνατὸν ν' ἀποκτήσωμεν, δόξαν δὲ διὰ χρημάτων δὲν εἶναι εὔκολον ν' ἀγοράσωμεν.» Οὕτω δὲ ἔχων ὁ τὰς ἀρχὰς ταύτας ἀκολουθῶν, καὶ οὕτω πολιτευόμενος, ἂς ἔχῃ πεποίθησιν ὡς λέων, καὶ ἂς μάθῃ ὅτι «καθὼς εὐθὺς ζυγὸς οὔτε ἀπὸ ἀληθῆ ζυγὸν εὐθύνεται, οὔτε ἀπὸ ψευδῆ κρίνεται· οὕτω καὶ ὁ δίκαιος κριτὴς οὔτε ἀπὸ δικαίους κρίνεται, οὔτε ἀπὸ ἀδίκους δικάζεται» λέγει ὁ Ἐπίκτητος. «Προτιμότερον δὲ δικαίως δικάσας νὰ κατακρίνηται παρὰ τοῦ δικαίως καταδικασθέντος, παρὰ ἀδίκως δικάσας νὰ κατηγορῆται δικαίως πατὰ τοῦ καταδικασθέντος». Καὶ τότε θέλει μακαρισθῆ ἀπὸ τὸν Σωτῆρα, καὶ θέλει ἐλπίσει ν' ἀπολαύσῃ τὴν βασιλείαν τῶν οὐρανῶν. Διότι «μακάριοι, λέγει, οἱ διωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν εἶναι ἡ βασιλεία τῶν οὐρανῶν». Δίκαιος δὲ ὢν καὶ φροντίζων περὶ τῆς δικαιοσύνης, τίνα θὰ ἀπολαύσῃ, καὶ τίνα θὰ κληρονομήσῃ, αὐτὸς ὅλην τὴν ἡμέραν

ὀλεῖται, οὔτε τὸ σπέρμα ζητοῦν ἄρτον ὀρθήσεται. Οὗτος κληρονήσει μὲν τὴν γῆν, κληρονομήσει δὲ καὶ, ἃ ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν, ὅτι τὴν δικαιοσύνην μᾶλλον ἢ τὴν ἀγαθωσύνην ἠγάπησεν. «*Ἔστι δὲ ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*»· οὕτως ὑπὲρ τὰ ὧδε καὶ τῶν αἰσθητῶν ἐκεῖνα πάντων ὑπέρκειται. Ταῦτα τοίνυν πάντα καθ' ἕκαστον οὕτω διανοούμενος, καὶ τοῖς λογισμοῖς ἀναπεμπαζόμενος, ἱκανά μοι δοκεῖν ὄντα πρὸς δικαιοσύνην ἐπαλεῖψαι καὶ γνώμην ἀπάνθρωπον καὶ θηριώδη· τοιαύτη γὰρ ἡ φιλάδικος, καὶ οὕτως ἐγὼ ταύτην κατονομάζω· τήν τε θείαν ὁ κρίνων ἀντίληψιν ἐπικαλείσθω, καὶ τοὺς τε νόμους ἀεὶ μελετάτω, τὴν διάνοιαν τούτων, μὴ τὰ ῥήματα μόνον, εἰδέναι σπουδάζων. Ὧν τὰ κάλλιστα ἡμεῖς, ὥς γε μοι φαίνεται, χρειώδη τε καὶ ἀναγκαιότατα συντεμόντες ἐν τῷ προχείρῳ τούτῳ βιβλίῳ συντετάχαμεν πάντοθεν συναγηοχότες ὥσπερ ἂν εἴ τις εἰσιὼν εἰς εὐανθεῖς λειμῶνας τὰ χαριέστατα δρέψαιτο τῶν ἀνθέων, καὶ εἰς μίαν ταῦτα καλλονὴν καὶ τερπνότητα συναγάγῃ. Ἀναγνοὺς δὲ καὶ τὴν ἐκτεθεῖσαν εἰς τοὺς κριτὰς κατάκρισιν, ὑπὸ τῶν πανευσεβῶν βασιλέων Λέοντος καὶ Ἀλεξάνδρου (δεῖ γὰρ καὶ ταύτην εἰδέναι τὸν κρίνειν ἀνθρώπους μέλλοντα) οὕτω δήπου μὴ μόνος ψῆφον κατ' οὐδενὸς ἐπενεγκεῖν θαρρεῖτω, κἂν εἰ τὴν ἐλάχιστον δίκην δικάζῃ· οὐαὶ γάρ, φησί, τῷ μόνῳ· ὅταν πέσῃ, τίς ἐγερεῖ αὐτόν; ἀλλά τοιγε καὶ μεθ' ἑτέρων, οἳ καὶ γνώμην καὶ γνῶσιν ἐν νόμοις τελοῦσιν ἐλλόγιμοι. Οὕτω γὰρ ἂν ποιῶν πρός τε σοφῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων, οἶμαι δὲ ὅτι καὶ πρὸς Θεοῦ παντοκράτορος, ἄμεμπτος εἴη καὶ ἀνεπιλήπτος.

ἐλεῶν καὶ δανείζων; ἡ γενεὰ αὐτοῦ θὰ εὐλογῆται, καὶ ὡς φοίνιξ θὰ ἀνθῇ, καὶ ὡς κέδρος θὰ πληθυνθῇ. Τούτου οὔτε ἡ ἐλπὶς χάνεται, οὔτε ἡ γενεὰ αὐτοῦ θὰ φανῇ ζητοῦσα ἄρτον. Οὗτος θέλει κληρονομήσει μὲν τὴν γῆν, θέλει δὲ κληρονομήσει καὶ ὅσα ὁ Θεὸς ἡτοίμασεν εἰς τοὺς ἀγαπῶντας αὐτόν, ὅτι τὴν δικαιοσύνην μᾶλλον ἢ τὰ πλούτη ἠγάπησεν. «*Εἶναι δὲ ὅσα ὀφθαλμὸς δὲν εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἀπὸ τὸν νοῦν τοῦ ἀνθρώπου διῆλθον*»· οὕτως ἐκεῖνα εἶναι ἀνώτερα ἀπὸ τὰ ἐνταῦθα καὶ ἀπὸ τὰ αἰσθητά. Ταῦτα λοιπὸν ὅλα οὕτω καθ' ἑαυτὸν διανοούμενος, καὶ εἰς τὸν νοῦν περιστρέφων, νομίζω ὅτι εἶναι ἱκανὰ νὰ μεταβάλωσι πρὸς δικαιοσύνην καὶ γνώμην ἀπάνθρωπον καὶ θηριώδη· τοιαύτη δὲ εἶναι ἡ φιλάδικος, καὶ οὕτως ἐγὼ τὴν ὀνομάζω· καὶ τὴν θείαν ἀντίληψιν ὁ δικαστὴς ὀφείλει νὰ ἐπικαλῆται, καὶ τοὺς νόμους πάντοτε νὰ μελετᾷ, καταγινόμενος νὰ ἐννοήσῃ οὐ μόνον τὰς λέξεις, ἀλλὰ καὶ τὸ πνεῦμα αὐτῶν. Ἡμεῖς ἐκ τῶν νόμων τούτων τὰ κάλλιστα, ὡς νομίζω, καὶ χρησιμότερα καὶ ἀναγκαιότατα συντεμόντες ἀπηρτίσαμεν τὸ πρόχειρον τοῦτο βιβλίον συναθροίσαντες αὐτοὺς πάντοθεν, καθὼς ὅταν ἐμβαίνῃ τις εἰς εὐανθεῖς λειμῶνας κόπτει τὰ χαριέστατα τῶν ἀνθέων καὶ συνάπτει ταῦτα εἰς μίαν καλλονὴν καὶ τερπνότητα. Ἀναγνώσας δὲ καὶ τὴν εἰς τοὺς δικαστὰς ἐκτεθεῖσαν κατάκρισιν, παρὰ τῶν πανευσεβῶν βασιλέων Λέοντος καὶ Ἀλεξάνδρου (διότι ὁ μέλλων νὰ δικάσῃ ἀνθρώπους ὀφείλει νὰ γνωρίζῃ καὶ ταύτην) οὕτω λοιπὸν ἂς μὴ τολμᾷ μόνος νὰ ἐκδίδῃ ἀπόφασιν κατ' οὐδενός, καὶ τὴν παραμικρὰν δίκην ἐὰν δικάζῃ· διότι ἀλοίμονον, λέγει, εἰς τὸν μόνον· ὅταν πέσῃ, τίς θὰ τὸν σηκώσῃ; ἀλλὰ μετ' ἄλλων, οἵτινες εἶναι νουνεχεῖς καὶ ἔμπειροι εἰς τοὺς νόμους. Οὕτω δὲ πράττων θὰ ἦναι ἄμεμπτος καὶ ἀνεπίληπτος καὶ ἐνώπιον τῶν μακαρίων σορῶν καὶ τῶν θνητῶν ἀνθρώπων, νομίζω δὲ ὅτι καὶ ἐνώπιον τοῦ παντοκράτορος Θεοῦ.

Κατάκρισις ἐκτεθεῖσα εἰς τοὺς Κριτὰς παρὰ Λέοντος καὶ Ἀλεξάνδρου τῶν εὐσεβῶν Βασιλέων.

Οἶμαι δὲ τῶν κρίνειν λαχόντων οὐδένα ποτὲ πρὸς τοσαύτην ἀποκλῖναι σκαιότητα, ὥστε παρὰ τοὺς ἐγκειμένους νόμους δοκιμάσαι καὶ τὰς ψήφους ἐκφέρειν. Εἰ δὲ εἰς τοσοῦτον τῆς ματαιότητος ὀλισθήσει, ἄλους μὲν τὴν ἐν νόμοις κειμένην ἀποίσεται δίκην· ἡμᾶς δὲ λαθών, ἥκιστα λήσεται τὸν ἀκοίμητον ὀφθαλμόν. Ὅμως καὶ ἀρᾳτὶς ἐμπεδῶσαι τοῦτο, λίαν ἀσφαλὲς εἶναι ᾠήθημεν. Εὔροι θεὸν μαχόμενον οὗτος, καὶ τὰς οὐρανίους καὶ ἀσωμάτους δυνάμεις πολεμούσας αὐτῷ. Ἐκπέσοι ἀώρως καὶ τῆς παρούσης ζωῆς, καὶ προσζημιωθήσεται καὶ τὴν μέλλουσαν. Πῦρ καταφάγεται θεμέλια οἴκων αὐτοῦ· καὶ ἔσται δι' αἰῶνος ἠτιμωμένον τὸ σπέρμα αὐτοῦ, καὶ ζητοῦν ἄρτους, ἀνθ' ὧν τὴν τῶν νόμων ἐλευθερίαν δούλην παραπεποιημένων κρίσεων ἀπειργάσατο.

ΠΡΟΘΕΩΡΙΑ.

Βιβλίον νόμων πάλαι πεποίηται τοῖς περὶ τὸν Βασίλειον καὶ Κωνσταντῖνον καὶ Λέοντα τοὺς εὐσεβεστάτους βασιλέας, Πρόχειρον οὕτω καλούμενον, ἐν ἐπιτομῇ τὰ τῶν νόμων διεξιὸν, ᾧπερ νῦν ἡμεῖς ἐντυχόντες πολλὰ μὲν ἐκ τῆς ὑποσχέσεως ἐτεθήπειμεν, πρὶν ἢ τοῦτο διεξιέναι· ἐξ ἑκάστου γάρ φησι τῶν νόμων βιβλίου τὰ ἀναγκαῖα καὶ χρειώδη καὶ συχνῶς ζητούμενα ἀναλέξασθαι, καὶ ταῦτα κεφαλαιωδῶς ἐν τῷδε τῷ προχείρῳ τῶν νόμων ἐγγράψασθαι, καὶ μηδὲν σχεδὸν παραλιπεῖν, ὅσα τοῖς πολλοῖς ἐν γνώσει καθίστασθαι δίκαιον. Οὕτω πως ἐν προοιμίοις λέγει, καὶ τοιαῦτα καθυπισχνεῖται· πολλοῦ δέ γε καὶ δεῖν τοῦ σκοποῦ κεκρίκαμεν καὶ τῆς ὑποσχέσεως, τοῦτο διεξιόντες, τά τε γὰρ ἀναγκαιότερα παραλέλειπται τούτῳ, καὶ ὅσα τούτων ἐνδεῶς εἴρηται, οὐ μὴν ἀλλὰ καὶ οὕτω τρόπον ἕτερον τοῦ σκοποῦ τοῦτο

Κατάκρισις ἐκτεθεῖσα εἰς τοὺς Κριτὰς παρὰ Λέοντος καὶ Ἀλεξάνδρου τῶν εὐσεβῶν Βασιλέων.

Νομίζω δὲ ὅτι κανεὶς ἀπὸ τοὺς διορισθέντας νὰ δικάζωσι δὲν θὰ παρεκκλίνῃ εἰς τοσαύτην σκαιότητα, ὥστε νὰ δοκιμάσῃ νὰ ἐκδώσῃ ἀπόφασιν παρὰ τοὺς κειμένους νόμους· εἰ δὲ παρεκτραπῇ εἰς τόσην ματαιότητα, φωραθεὶς μὲν θέλει τιμωρηθῇ κατὰ τοὺς νόμους· διαφυγὼν δὲ ἡμᾶς, ποσῶς δὲν θέλει ἀπατήσει τὸν ἀκοίμητον ὀφθαλμόν. Ἐνομίσαμεν ὅμως ὅτι εἶναι ἀσφαλέστερον νὰ στηρίξωμεν τοῦτο καὶ μὲ ἀράς. Ὁ δικαστὴς οὗτος νὰ εὕρῃ τὸν Θεὸν πολέμιον, καὶ τὰς οὐρανίους καὶ ἀσωμάτους δυνάμεις ἐναντίας. Νὰ ἐκπέσῃ ἀώρως καὶ ἀπὸ τὴν παροῦσαν ζωὴν, καὶ τὴν μέλλουσαν ν' ἀπολέσῃ. Πῦρ νὰ καταφάγῃ τὰ θεμέλια τῶν οἴκων αὐτοῦ, καὶ ἡ γενεὰ αὐτοῦ θὰ ἦναι ἀτιμωμένη αἰωνίως, καὶ θὰ ψωμοζητῇ, δι' ὅσα διέπραξεν ὅπως καταστήσῃ τὴν ἐλευθερίαν τῶν νόμων δούλην νόθων ἀποράσεων.

ΠΡΟΘΕΩΡΙΑ.

Οἱ εὐσεβέστατοι βασιλεῖς Βασίλειος καὶ Κωνσταντῖνος καὶ Λέων εἶχον συντάξει πρὸ πολλοῦ βιβλίον νόμων, λεγόμενον οὕτω Πρόχειρον, περιέχον κατ' ἐπιτομὴν τὰς διατάξεις τῶν νόμων, τὸ ὁποῖον εὑρόντες ἐσχάτως, πρὶν ἢ τὸ ἀναγνώσωμεν, πολὺ ἐξεθαμβήθημεν ἀπὸ τὴν ὑπόσχεσίν του· διότι λέγει ὅτι ἀπὸ ἕκαστον βιβλίον τῶν νόμων συνελέχθησαν τὰ ἀναγκαῖα καὶ χρειώδη καὶ συχνῶς ζητούμενα, καὶ ταῦτα ἐνεγράφησαν κεφαλαιωδῶς εἰς τὸ πρόχειρον τοῦτο τῶν νόμων, καὶ σχεδὸν τίποτε δὲν παρελείφθη ἀπὸ ὅσα εἶναι δίκαιον νὰ εἰξεύρωσιν οἱ πολλοί. Οὕτω πως λέγει εἰς τὸ προοίμιον καὶ τοιαῦτα ὑπόσχεται· διεξελθόντες ὅμως τὸ βιβλίον ἐκρίναμεν ὅτι ἀπέχει πολὺ ἀπὸ τὸν σκοπὸν καὶ τὴν ὑπόσχεσίν του, διότι παρελείφθησαν ἐξ αὐτοῦ τὰ ἀναγκαιότερα, ἀλλ' ὅμως καὶ οὕτω θαυμάσαντες καὶ ὅσα εἴτε ἐλλιπῶς, εἴτε καὶ ἐκ-

καὶ τῆς συνθήκης, εὖ μάλα θαυμάσαντες, δεῖν ᾠήθημεν ἀνταναπληρῶσαι τούτῳ τὰ δέοντα, καὶ προσθεῖναι τὰ ὑστερήματα, καὶ τέλειον κατ' ἐπιτομὴν ἀπεργάσασθαι. Ταῦτ' ἄρα καὶ τῷ πλάτει τῶν νόμων ἐγκύψαντες, ὅσοι τε ἀνέκαθέν εἰσι τεταγμένοι, καὶ ὅσοι πρὸς τῶν θειοτάτων ὕστερον βασιλέων ἐπινενόηνται, οὓς καὶ Νεαρὰς σύνηθες ὀνομάζειν, μεθ' ὧν εἰσι καὶ τὰ Ῥωμαϊκὰ τοῦ Μαγίστρου λεγόμενα, καὶ τὰ Ἐπαρχικά τε καὶ τῶν Προχείρων τὰ κάλλιστα, καὶ τὰ πάντων ἐκεῖθεν ἀναλεξάμενοι, κάλλιστά τε ὁμοῦ καὶ ἀναγκαιότατα, καὶ τοῖς τοῦ προχείρου ταῦτα συμπλέξαντες καὶ συνθέντες, τὰ μὲν ἀναμίξ, τὰ δὲ ἰδίᾳ, ὡς ἄρα ἕκαστον ἔδει τε καὶ καθῆκεν· ἐπεὶ τὸ τοῦ Προχείρου βιβλίον ἐν τεσσαράκοντα ὂν τίτλοις ἐτύγχανεν, ἑτέρους ἡμεῖς τοσούτους ἢ καὶ πλείους ἐπισυνάψαντες, σαφηνείας τε χάριν, καὶ τοῦ μή τι δοκεῖν τῶν ἀναγκαίων ἐνδεῖν ἓν μὲν τὸ ὅλον ἀπειργασάμεθα, ἐν ἓξ δὲ βιβλίοις τὴν ὅλην τῶν ἑξήκοντα τῶν νόμων βιβλίων πραγματείαν συντεμόντες διείλομεν, καὶ τῶν Νεαρῶν, τῶν Ῥωμαϊκῶν τε καὶ τῶν Ἐπαρχικῶν καὶ τῶν Προχείρων· *Πρόχειρον ἢ Ἐξάβιβλος* οὕτω προσαγορεύσαντες.

Ἐπιγέγραπται δὲ καὶ τῶν βιβλίων ἕκαστον, οὕτως·

ά. Τὸ μὲν πρῶτον, περὶ νόμων καὶ δικαστικῆς καταστάσεως· ἔτι τε περὶ ἀποκαταστάσεως καὶ ἐλευθεριῶν.

β'. Περὶ δικῶν δὲ διαφόρων καὶ καινοτομιῶν τὸ δεύτερον.

γ'. Τὸ δέ γε τρίτον περὶ ἐκποιήσεως, δανείου τε καὶ κοινωνίας.

δ'. Περὶ μνηστείας δὲ καὶ γάμων τὸ τέταρτον.

έ. Τὸ μέντοι πέμπτον περὶ διαθηκῶν καὶ ἐπιτρόπων.

ς'. Τὸ τελευταῖον δὲ καὶ ἕκτον περὶ ζημίας καὶ ποινῶν.

Τὸ μὲν οὖν ὅλον, ὡς ἔρθην εἰπών, ἐν ἓξ βιβλίοις διήρηται, *Πρόχειρον ἢ Ἐξάβιβλος* οὕτως ὀνομασθέν. Οἱ δὲ παρ' ἡμῶν τοῖς προτέροις προστεθέντες τίτλοις, τεσσαράκοντα ὄντες ἢ καὶ πλείους, ὡς καὶ τοῦτ' ἔφην, τυγχάνουσι. Προσθεῖναι δὲ κἀκεῖνο τοῖς εἰρημένοις ἄξιον, ὡς πολλὰ μὲν ἐν τοῖς παλαιοῖς τίτλοις παρ' ἡμῶν εἰσι προστεθειμένα κεφάλαια, τὰ κάλλιστά μοι δοκεῖν

τὸς τοῦ σκοποῦ καὶ τοῦ προκειμένου λόγου ἐλέχθησαν, ἐνομίσαμεν ὅτι εἶναι καλὸν ν' ἀναπληρώσωμεν τὰ εἰς τοῦτο ἀναγκαῖα, καὶ νὰ προσθέσωμεν τὰ ἐλλείποντα, καὶ τέλειον κατ' ἐπιτομὴν νὰ καταρτίσωμεν. Διὰ ταῦτα ἐγκύψαντες καὶ εἰς τὸ πλάτος τῶν νόμων, ὅσοι ἀνέκαθεν εἶναι διατεταγμένοι, καὶ ὅσοι μετὰ ταῦτα ἐπενοήθησαν παρὰ τῶν θειοτάτων βασιλέων, τοὺς ὁποίους καὶ Νεαρὰς συνήθως ὀνομάζομεν, εἰς τοὺς ὁποίους τάσσονται καὶ τὰ λεγόμενα Ρωμαϊκὰ τοῦ Μαγίστρου καὶ τὰ Ἐπαρχικὰ καὶ τὰ κάλλιστα τῶν Προχείρων, καὶ ἐξ ὅλων τούτων συλλέξαντες τὰ κάλλιστα καὶ ἀναγκαιότατα, καὶ ταῦτα ἑνώσαντες καὶ συνθέσαντες μετὰ τοῦ προχείρου, ἄλλα μὲν ἀναμίξ, ἄλλα δὲ ἰδιαιτέρως, ὅπως ἕκαστον ἔπρεπε καὶ ἥρμοζεν· ἐπειδὴ τὸ βιβλίον τοῦ Προχείρου ἀπηρτίζετο ἐκ τεσσαράκοντα τίτλων, ἡμεῖς προσθέσαντες ἄλλους τόσους ἢ καὶ πλειοτέρους, καὶ χάριν σαφηνείας, καὶ διὰ νὰ μὴ φαίνεται ὅτι λείπει τι ἀπὸ τ' ἀναγκαῖα ἀπηρτίσαμεν ἓν ὅλον, τὴν ὅλην δὲ πραγματείαν τῶν ἑξήκοντα τῶν νόμων βιβλίων καὶ τῶν Νεαρῶν, καὶ τῶν Ρωμαϊκῶν καὶ τῶν Ἐπαρχικῶν καὶ τῶν Προχείρων συντεμόντες διηρέσαμεν εἰς ἓξ βιβλία· ὀνομάσαντες αὐτὴν Πρόχειρον ἢ Ἑξάβιβλος.

Ἕκαστον δὲ βιβλίον φέρει τὴν ἑξῆς ἐπιγραφήν.

ά. Τὸ μὲν πρῶτον, περὶ νόμων καὶ δικαστικῆς καταστάσεως· καὶ προσέτι περὶ ἀποκαταστάσεως καὶ ἐλευθεριῶν.

β'. Τὸ δὲ δεύτερον περὶ διαφόρων δικῶν καὶ καινοτομιῶν.

γ'. Τὸ δὲ τρίτον περὶ ἐκποιήσεως, δανείου καὶ συντροφίας.

δ'. Τὸ δὲ τέταρτον περὶ μνηστείας καὶ γάμου.

έ. Τὸ δὲ πέμπτον περὶ διαθηκῶν καὶ ἐπιτρόπων.

ς'. Τὸ δὲ ἕκτον καὶ τελευταῖον περὶ ζημίας καὶ ποινῶν.

Τὸ ὅλον λοιπόν, ὡς εἶπον, διηρέθη εἰς ἓξ βιβλία, ὀνομασθὲν οὕτω πρόχειρον ἢ ἑξάβιβλος. Οἱ δὲ παρ' ἡμῶν προστεθέντες εἰς τοὺς προτέρους τίτλους εἶναι, ὡς καὶ τοῦτο εἶπον, τεσσαράκοντα ἢ καὶ πλειότεροι. Ἀναγκαῖον δὲ εἶναι νὰ σημειώσωμεν πρὸς τούτοις, ὅτι εἰς τοὺς παλαιοὺς τίτλους ἐπροσθέσαμεν πολλὰ

καὶ ἀναγκαιότατα· εἰσὶ δὲ καί τινα τῶν ἐκ τοῦ παλαιοῦ τοῖς ἡμετέροις τίτλοις προσκείμενα. Ἵνα τοίνυν δῆλα ταῦτα τε ὦσι κἀκεῖνα, τοῖς μὲν παρ' ἡμῶν προστεθεῖσι τίτλοις καὶ κεφαλαίοις, κἂν ὅπου ἄρα καὶ τελῶσιν εὑρισκόμενα, τὸ ἡλιακὸν ἔξω σημεῖον ἐγγέγραπται, τὸ χρονικὸν δὲ παλαιοῖς· καὶ οὕτω δῆλα τοῖς ἐντυγχάνουσι πᾶσι καθίσταται, εἴγε δήπου καὶ τοῦτο εἰδέναι βούλοιντο, τίνα τέ εἰσιν ἐν τῷ Προχείρῳ τούτῳ τὰ παλαιὰ, καὶ τίνα τὰ νέα, εἴτε τίτλοι λέγω, εἴτε κεφάλαια. Καὶ ταῦτα μὲν ἐν τούτοις. Ἐν ἑκάστῳ δὲ πάλιν τῶν κεφαλαίων δηλοῦται διὰ τὸ ἀδιάβλητον, ὅθεν ταῦτα παρεξεβλήθη, καὶ ὅ γε βουλόμενος εἰς τὰ πρωτότυπα τούτων ἀνατρεχέτω βιβλία, κἀκεῖθεν τ' ἀληθὲς ἢ καὶ τὴν τούτων δήλωσιν σαφέστερον μανθανέτω.

Οἱ δὲ τῶν βιβλίων τίτλοι καθ' ἕκαστον οὕτως εἰσὶν ἔχοντες, ὡς ἐν τῇ παρούσῃ δείκνυται καταγραφῇ.

κεφάλαια, ὅσα ἐνομίσαμεν κάλλιστα καὶ ἀναγκαιότατα· πρόσκεινται δὲ καί τινα ἀπὸ τὰ παλαιὰ εἰς τοὺς ἡμετέρους τίτλους. Διὰ νὰ ἦναι δὲ καὶ ταῦτα καὶ ἐκεῖνα φανερά, εἰς μὲν τοὺς παρ' ἡμῶν προστεθέντας τίτλους καὶ κεφάλαια, ὅπου καὶ ἂν εὑρίσκωνται, προσεγράφη ἔξω τὸ ἡλιακὸν σημεῖον, εἰς δὲ τὰ παλαιὰ τὸ χρονικόν· καὶ οὕτω γίνονται φανερὰ εἰς ὅλους τοὺς ἀναγνώστας, ἐὰν τυχὸν θέλωσι νὰ εἰξεύρωσι καὶ τοῦτο, τίνα εἰς τὸ Πρόχειρον τοῦτο εἶναι τὰ παλαιά, καὶ τίνα τὰ νέα, εἴτε τίτλοι λέγω, εἴτε κεφάλαια. Καὶ ταῦτα μὲν περὶ τούτων. Εἰς ἕκαστον δὲ πάλιν τῶν κεφαλαίων σημειοῦται διὰ τὸ ἀδιάβλητον, πόθεν ταῦτα ἐξήχθησαν, καὶ ὁ θέλων δύναται νὰ προστρέχῃ εἰς τὰ πρωτότυπα τούτων βιβλία, καὶ ἐκεῖθεν νὰ μανθάνῃ σαφέστερον τὴν ἀλήθειαν ἢ καὶ τὴν διασάφησιν τούτων.

Οἱ δὲ τίτλοι τῶν βιβλίων καθ' ἕκαστον εἶναι ὡς εἰς τὸν ἐν ἀρχῇ πίνακα φαίνονται.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΠΕΡΙ ΝΟΜΩΝ ΚΑΙ ΔΙΚΑΣΤΙΚΗΣ ΚΑΤΑΣΤΑΣΕΩΣ, ΕΤΙ ΤΕ ΠΕΡΙ ΑΠΟΚΑΤΑΣΤΑΣΕΩΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΩΝ.

ΤΙΤΛ. Α'. — Περὶ Νόμων.

1. Κατὰ τοὺς παλαιοὺς χρόνους οὔτε μοναρχίαι ἦσαν βασιλικαί, ἀλλὰ δι' ὑπάτων τὰ τῶν Ρωμαίων διεθύνοντο πράγματα· προεβάλλοντο γὰρ καθ' ἕκαστον χρόνον ὕπατοι δύο, καὶ ἀνεδέχοντο πάντα τὰ στρατιωτικὰ καὶ πολιτικά. Καὶ ἵνα σαφέστερον καὶ συντομώτερον εἴπωμεν· οὔτε νόμοι ἀκμὴν, οὔτε βασιλεῖς ἦσαν, οὔτε ἔγγραφοι νόμοι ἐν βιβλίοις τεταγμένοις ἀναγραφόμενοι.

2. Πρῶτος δὲ Ἄππιος Κλαύδιος μετὰ ἑτέρων ἀνδρῶν ἐκλεκτῶν δέκα τὸν ἀριθμὸν, συναγαγὼν εἴτι νόμιμον ἦν παρὰ Ρωμαίοις, ἢ ἀγράφως φερόμενον, ἢ ἐγγράφως μὲν, ἀσυντάκτως δὲ καὶ σποράδην κείμενον· (ἦσαν γάρ τινα καὶ ἀτάκτως, καὶ οὐκ ἐν ὡρισμένοις τεθειμένα βιβλίοις) μετακομίσας καὶ ἀπὸ τῶν Ἀθηνῶν τοὺς νόμους τοῦ Δράκοντος καὶ τοῦ Σόλωνος, καὶ ἀπὸ τῶν ἄλλων ἄλλους τινὰς, καὶ ἐκ πάντων ἐκλογὴν ποιησάμενος, τὸ δωδεκάδελτον, ταὐτὸν δ' εἰπεῖν δωδεκάβιβλον, ἀπετέλεσεν.

3. Εἶτα ἐλθόντες ἄνδρες σοφοὶ, ὧν ἦρχε Γάϊος, νομοθεσίας ἑτέρας καὶ διαιρέσεις τῶν ἀγωγῶν προστεθείκασι. Καὶ μετὰ τούτους διάφοροι βασιλεῖς διατάξεις, ὡς συμφέρον ἐνόμιζον, συνεγράψαντο.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΠΕΡΙ ΝΟΜΩΝ ΚΑΙ ΔΙΚΑΣΤΙΚΗΣ ΚΑΤΑΣΤΑΣΕΩΣ ΚΑΙ ΠΕΡΙ ΑΠΟΚΑΤΑΣΤΑΣΕΩΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΩΝ.

ΤΙΤΛ. Α'. Περὶ Νόμων.

1. Κατὰ τοὺς παλαιοὺς χρόνους δὲν ἦσαν βασιλικαὶ μοναρχίαι, ἀλλὰ δι' ὑπάτων ἐδιοικοῦντο τὰ πράγματα τῶν Ῥωμαίων· ἀνηγορεύοντο δὲ κατ' ἔτος δύο ὕπατοι, καὶ ἀνεδέχοντο ὅλα τὰ στρατιωτικὰ καὶ πολιτικά. Καὶ διὰ νὰ εἴπωμεν σαφέστερον καὶ συντομώτερον, οὔτε νόμοι πρὸς τοῦτο ὑπῆρχον, οὔτε βασιλεῖς ἦσαν, οὔτε νόμοι γραπτοὶ εἰς ὡρισμένα βιβλία.

2. Πρῶτος δὲ ὁ Ἄππιος Κλαύδιος μετὰ δέκα ἄλλων ἀνδρῶν ἐκλεκτῶν, συλλέξας ὅτι νόμιμον ὑπῆρχε παρὰ Ῥωμαίοις ἢ ἀγράφως ἢ ἐγγράφως μέν, ἀσυντάκτως δὲ καὶ σποραδικῶς κείμενον· (διότι ἦσαν τινὰ καὶ ἀτάκτως καὶ μὴ ἐκτεθειμένα εἰς ὡρισμένα βιβλία) μετακομίσας καὶ ἀπὸ τὰς Ἀθήνας τοὺς νόμους τοῦ Δράκοντος καὶ τοῦ Σόλωνος, καὶ ἀπὸ ἄλλα μέρη ἄλλους τινάς, καὶ ἀπὸ ὅλους τούτους ἀπανθίσας, κατήρτισε τὸ δωδεκάδελτον, ἤτοι τὴν δωδεκάβιβλον.

3. Ἔπειτα ἐλθόντος ἄνδρες σοφοί, ὧν πρῶτος ἦτο ὁ Γάϊος, προσέθεσαν ἄλλους νόμους καὶ διαιρέσεις τῶν ἀγωγῶν. Καὶ μετὰ τούτους διάφοροι βασιλεῖς συνέγραψαν διατάξεις, ὡς ἐνόμιζον συμφέρον.

4. Ὕστερον δὲ ὁ βασιλεὺς Ἰουστινιανὸς τὰς πολλὰς ἐκθέσεις τῶν νόμων ἐν πεντήκοντα βιβλίοις διὰ σοφῶν ἀνδρῶν σπουδαίως συνήγαγεν· ἃ καὶ Δίγεστα ἤτοι Πανδέκτην, ὡς πάντων δεκτικὰ τῶν νόμων, ἐκάλεσεν. Οὗτος ὁ Ἰουστινιανὸς καὶ τοὺς τρεῖς ἐξέθετο κώδικας, τόν τε Γρηγοριανὸν, τὸν Ἑρμογενιανὸν καὶ τὸν Θεοδοσιανόν· καὶ τοὺς τοιούτους κώδικας τοῖς νόμοις τοῖς διὰ Θαλελαίου, καὶ Ἀνατολίου, καὶ Ἰσιδώρου συνάψας, ἕτερον δωδεκάδελτον (ταὐτὸν δ' εἰπεῖν δωδεκάβιβλον) καὶ αὐτὸς ἀπεπλήρωσε.

5. Τινὲς δὲ τοὺς λεχθέντας κώδικας εἶναι μέν φασι πρὸ τοῦ Ἰουστινιανοῦ, πλὴν ἀλλὰ καὶ συγκεχυμένους καὶ διεσπαρμένους· παρ' αὐτοῦ δὲ ἐπισυναχθῆναι καὶ τεθῆναι εἰς τὸ δωδεκάδελτον. Αὐτὸς καὶ τὰ Ἰνστιτοῦτα, τοὐτέστι τὴν τῶν νόμων εἰσαγωγὴν, ὡς πρῶτα στοιχεῖα τοῖς τοὺς νόμους παιδευομένοις, ἐξέδοτο. Ὁ αὐτὸς καὶ Νεαρὰς ἐν ἰδιάζοντι βιβλίῳ συνέταξεν· εἰσὶ δὲ Νεαραὶ αἱ παρὰ τῶν κατὰ νόμους βασιλέων νέαι διατάξεις πρὸς τὰς ἀνακυπτούσας ὑποθέσεις γινόμεναι.

6. Ὑπηρέτει δὲ τῷ Ἰουστινιανῷ, εἰς ἃς εἴπομεν Νεαράς, ὁ Τριβουνιανὸς ἐκεῖνος, ὃν καὶ εἰς φύσεως δεξιότητα καὶ εἰς φιλοχρηματίαν δαιμόνιον περιῴδουσιν· ὅστις ἐν τῷ συγγράφειν τὰς Νεαρὰς παρὰ τῶν ἐχόντων ὑποθέσεις δεχόμενος χρήματα, τὰ μὲν πρὸς τὸ θέλημα τῶν διδόντων ἐνήλλαττε, τὰ δὲ ἀσαφῆ καὶ δυσνόητα καὶ πρὸς ἐννοίας ῥέποντα διττὰς ἐσχεδίαζεν, ὡς ἃ νοῖ ἀναγινώσκοντες ἐμπίπτωσιν εἰς διχόνοιαν.

7. Τελευταῖος δὲ καὶ ὕστερος πάντων Λέων ὁ σοφὸς, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος τὰ Δίγεστα καὶ τοὺς Κώδικας καὶ τῶν Ἰνστιτούτων πολλὰ καὶ τὰς νεαρὰς αὐτὰς εἰς ἓν πάντα συναγαγὼν ὁμοῦ καὶ τὴν τοιαύτην πραγματείαν ἐν βιβλίοις συμπληρώσας ἑξήκοντα τὴν λεγομένην Ἑξηκοντάβιβλον τελείως ἀπήρτισεν, ἣν καὶ εἰς τεύχη ἓξ διεμέρισε, τεῦχος ὀνομάσας ἕκαστον τῶν μειζόνων τμημάτων, ὃ καὶ πολλῶν βιβλίων ἐστὶ περιεκτικόν.

8. Καὶ μετὰ τοῦτον πολλοὶ τῶν βασιλέων καθολικοὺς μέν οὐκ

4. Ὕστερον δὲ ὁ βασιλεὺς Ἰουστινιανὸς τὰς πολλὰς ἐκθέσεις τῶν νόμων συνήθροισε σπουδαίως διὰ σοφῶν ἀνδρῶν εἰς πεντήκοντα βιβλία· τὰ ὁποῖα καὶ Δίγεστα ἤτοι Πανδέκτην ὠνόμασεν, ὡς πάντων τῶν νόμων δεκτικά. Ὁ Ἰουστινιανὸς οὗτος ἐξέδωκε καὶ τοὺς τρεῖς κώδικας, τὸν Γρηγοριανόν, τὸν Ἑρμογενιανὸν καὶ τὸν Θεοδοσιανόν· καὶ τοὺς τοιούτους κώδικας συνάψας διὰ τοῦ Θαλελαίου, καὶ Ἀνατολίου, καὶ Ἰσιδώρου μὲ τοὺς νόμους, ἀπετέλεσε καὶ αὐτὸς ἑτέραν δωδεκάβιβλον.

5. Τινὲς λέγουσιν ὅτι οἱ προλεχθέντες κώδικες ἦσαν μὲν πρὸ τοῦ Ἰουστινιανοῦ, ἀλλὰ συγκεχυμένοι καὶ διεσπαρμένοι· αὐτὸς δὲ συνήθροισε καὶ κατέταξεν αὐτοὺς εἰς τὴν Δωδεκάβιβλον. Οὗτος ἐξέδωκε καὶ τὰς Εἰσηγήσεις (Ἰνστιτοῦτα), ὡς πρῶτα στοιχεῖα διὰ τοὺς σπουδάζοντας τὰ νομικά. Ὁ αὐτὸς συνέταξε καὶ Νεαρὰς εἰς ἰδιαίτερον βιβλίον· νεαραὶ δὲ λέγονται τῶν νομίμων βασιλέων αἱ νέαι διατάξεις τὰς ὁποίας ἐξέδιδον πρὸς τὰς συμπιπτούσας ὑποθέσεις.

6. Ὑπηρέτει δὲ τὸν Ἰουστινιανὸν εἰς τὰς λεχθείσας νεαρὰς ὁ Τριβουνιανός, τὸν ὁποῖον φημίζουσι διὰ τὴν φυσικήν του δεξιότητα καὶ τὴν φιλοχρηματίαν του· οὗτος κατὰ τὴν σύνταξιν τῶν νεαρῶν λαμβάνων χρήματα παρὰ τῶν ἐχόντων ὑποθέσεις, τὰ μὲν μετέβαλλε κατὰ τὸ θέλημα αὐτῶν, τὰ δὲ ἀσαφῆ καὶ δυσνόητα καὶ διττῶς ἐννοούμενα ἐσχεδίαζεν, ὥστε οἱ ἀναγινώσκοντες νὰ διχογνωμονῶσι.

7. Τελευταῖος δὲ καὶ ὕστερος ὅλων Λέων ὁ σορός, ὁ τῶν βασιλέων ἀοίδιμος συλλέξας εἰς ἓν τοὺς Πανδέκτας καὶ τοὺς Κώδικας καὶ τῶν Εἰσηγήσεων πολλὰ καὶ τὰς νεαρὰς αὐτὰς καὶ τὴν τοιαύτην πραγματείαν συμπληρώσας εἰς ἑξήκοντα βιβλία ἀπήρτισε τὴν λεγομένην Ἑξηκοντάβιβλον, τὴν ὁποίαν καὶ εἰς τεύχη ἓξ διήρεσε, τεῦχος ὀνομάσας ἕκαστον μέγα τμῆμα, περιεκτικὸν πολλῶν βιβλίων.

8. Καὶ μετὰ τοῦτον πολλοὶ τῶν βασιλέων γενικοὺς μὲν νόμους δὲν

ἐξέθεντο νόμους, Νεαρὰς δὲ καὶ προστάξεις ἀλλοίας καὶ χρυσοβούλλους λόγους, εἰς ἃ δέον ἡγήσαντο, πεποιήκασιν.

9. Ὁ *Νόμος* (*) ἢ φυσικός ἐστιν ἢ ἐθνικὸς ἢ πολιτικός· καὶ φυσικὸς μὲν νόμος, ᾧ τινι κατὰ φύσιν χρῶνται πάντα τὰ ζῶα, καὶ τὰ λογικὰ καὶ τὰ ἄλογα· οἷον τὸ τὰς μητέρας στέργειν τὰ γενόμενα ἐξ αὐτῶν, καὶ ὅσα τοιαῦτα. (Β. Π. 2. 3)

10 Ἐθνικὸς δὲ νόμος ἐστίν, ᾧ τινι ἔθνος ἢν ἡ ἔθνη χρῶνταί τινα· οἷον τὸ μὴ μίγνυσθαι ταῖς μητράσι παρὰ Σκύθαις καὶ Ἕλλησι· καὶ τὸ ἐναντίον τὸ μίγνυσθαι ταύταις παρὰ Πέρσαις. (Β. Π. 2. 2)

11. Πολιτικὸς δὲ νόμος ἐστίν, ᾧ τινι μία πόλις μόνη κέχρηται διὰ τὸ συμφέρειν αὐτῇ· ἄλλη δὲ εἰ χρήσασθαι βουληθῇ, ἐπιζήμιον ἔσται ταύτῃ καὶ βλάβης πρόξενον· ὡς, εἴτις ἐν πόλει ὤν, ἥτις σῖτον ἀφ' ἑαυτῆς οὐ δύναται γεωργεῖν, νομοθετήσῃ ἐλευθέρους εἶναι καὶ μηδὲν διδόναι τῷ δημοσίῳ τοὺς βουλομένους ἀγοράζειν καὶ πωλεῖν σῖτον· τοῦτο γὰρ τῇ μὲν πόλει ἐκείνῃ ἴσως συμφέρει, διὰ τὸ μὴ ἔχειν σῖτον ταύτην ἀφ' ἑαυτῆς, ταῖς δὲ ἑτέραις πόλεσιν, αἵτινες εὔποροί εἰσιν, ἀσύμφορον πάντως ἔσται καὶ οὐδὲν ὄφελος, ἀλλὰ καὶ μᾶλλον ζημίαν αὐταῖς προξενοῦν. (Β. Π. 1. 6—9)

12. Πᾶς νόμος ἢ ἀπὸ συνκινέσεως ἐτέθη, ἢ ἀνάγκης, ἢ ἀπὸ συνηθείας ἐβεβαιώθη. (Β. Π. 1. 48)

13. Νόμος ἐστὶ τέχνη τοῦ καλοῦ καὶ τοῦ ἴσου· κοινὸν παράγγελμα, φρονίμων ἀνδρῶν δόγμα· ἑκουσίων τε καὶ ἀκουσίων

(*) Οἱ νόμοι ἐσυντάχθησαν καὶ ἀπὸ τοὺς βασιλεῖς καὶ ἀπὸ τοὺς πραίτωρας· καὶ οἱ μὲν τῶν βασιλέων λέγονται διατάξεις, οἱ δὲ τῶν πραιτώρων δόγματα· καὶ εἶναι κατὰ τὴν φύσιν ταυτόχρονοι. Δόγματα ὅμως πραιτώρων εἶναι ὀλίγα, ἅτινα εἶναι διηνεκῆ καὶ ἀρμόζουσι πάντοτε· καθὼς ἡ περὶ κλοπῆς ἀγωγή, καὶ αἱ ἀγωγαὶ αἵτινες δίδονται εἰς τοὺς κληρονόμους· διότι ὁ κατέχων τὸ κλαπέν, ἐκεῖνος κατὰ τὸν νόμον τὸ ἀποδίδει καὶ τὸ ἀποκαθιστᾷ, εἰ μὲν εἶναι φανερὸς κλέπτης, εἰς τὸ τετραπλάσιον, εἰ δὲ ἀφανής, εἰς τὸ διπλάσιον· διότι οὕτω ἐκανονίσθη ὑπὸ τῶν νομι-

ἐξέδωκαν, ἔγραψαν ὅμως νεαρὰς καὶ διαφόρους διατάξεις καὶ χρυσόβουλλα, εἰς ὅσα ἐνόμιζον ἀναγκαῖον.

9. Ὁ Νόμος εἶναι ἢ φυσικὸς ἢ ἐθνικὸς ἢ πολιτικός. Καὶ φυσικὸς μὲν νόμος λέγεται ἐκεῖνος, τὸν ὁποῖον κατὰ φύσιν μεταχειρίζονται ὅλα τὰ ζῶα, καὶ τὰ λογικὰ καὶ τὰ ἄλογα· λ. χ. αἱ μητέρες νὰ φροντίζωσι περὶ τῶν τέκνων των, καὶ τὰ τοιαῦτα.

10. Ἐθνικὸς δὲ νόμος εἶναι ἐκεῖνος, τὸν ὁποῖον μεταχειρίζεται ἔθνος ἢ ἔθνη· λ. χ. εἰς τοὺς Σκύθας καὶ τοὺς Ἕλληνας νὰ μὴ συνευρίσκωνται μὲ τὰς μητέρας· καὶ τὸ ἐναντίον εἰς τοὺς Πέρσας νὰ συνευρίσκωνται μὲ αὐτάς.

11. Πολιτικὸς δὲ νόμος εἶναι ἐκεῖνος τὸν ὁποῖον μεταχειρίζεται μία μόνη πόλις ὡς συμφέροντα εἰς αὐτήν· ἄλλη δὲ ἐὰν θελήσῃ νὰ τὸν μεταχειρισθῇ, γίνεται ἐπιζήμιος εἰς αὐτὴν καὶ προξενεῖ βλάβην· καθὼς, ἐὰν κατοικῶν τις εἰς πολιτείαν ἥτις ἀφ' ἑαυτῆς σῖτον δὲν παράγει, νομοθετήσῃ ὅτι εἶναι ἐλεύθεροι καὶ τίποτε δὲν δίδουσιν εἰς τὸ δημόσιον οἱ θέλοντες ν' ἀγοράζωσι καὶ νὰ πωλῶσι σῖτον· τοῦτο εἰς μὲν τὴν πόλιν ταύτην ἐνδέχεται νὰ συμφέρῃ, ὡς μὴ παράγουσαν σῖτον ἀφ' ἑαυτῆς, εἰς δὲ τὰς ἄλλας πόλεις, αἵτινες εἶναι εὔποροι, ἡ τοιαύτη ἄδεια εἶναι ἐντελῶς ἀσύμφορος καὶ ἀνωφελὴς, καὶ μᾶλλον προξενεῖ ζημίαν.

12. Πᾶς νόμος ἢ ἀπὸ συναίνεσιν ἐτέθη, ἢ ἀπὸ ἀνάγκην, ἢ ἀπὸ συνηθειαν ἐκυρώθη.

13. Νόμος εἶναι τέχνη τοῦ καλοῦ καὶ τοῦ ἴσου, κοινὸν παράγγελμα, δόγμα φρονίμων ἀνδρῶν· σωφρονισμὸς ἑκουσίων καὶ ἀ-

κωτέρων. Αἱ δὲ ποινικαὶ λεγόμενοι ἀγωγαὶ μεταβαίνουσιν εἰς τοὺς κληρονόμους αὐτῶν, ὄχι ὅμως κατὰ τῶν κληρονόμων. Διότι ἐνάγονται αὐτοὶ οἱ κλέπται, οἱ ἅρπαγες, καὶ οἱ τὴν ζημίαν προξενήσαντες κατὰ τὸν Ἀκουίλιον, ἐκτὸς ἐὰν γείνῃ ἀγωγὴ εἰς δικαστήριον ζῶντος τοῦ αὐτουργοῦ· καθόσον τότε δίδεται ἀγωγὴ εἰς αὐτοὺς καὶ κατ' αὐτῶν δι' ὅσον ὠφελήθησαν ἀπὸ τὸ ἔγκλημα.

ἁμαρτημάτων σωφρονισμός, πόλεως συνθήκη κοινή· ἔστι δὲ καὶ θεῖον εὕρημα. (Β. ΙΙ. 1. 1)

14. Παράγγελμα τοῦ νόμου, τὸ κοσμίως ζῆν, ἄλλον μὴ βλάπτειν, ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν. Σοφία δὲ νόμου τὸ εἰδέναι τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα, τὸ δίκαιον καὶ τὸ ἄδικον (Β. ΙΙ. 1. 10)

15. Εἰδέναι δὲ νόμους ἐστὶν οὐ τὸ γινώσκειν τὰ ῥήματα, ἀλλὰ τὴν δύναμιν αὐτῶν. (Β. ΙΙ. 1. 27)

16. Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι· καὶ κελεύειν μέν ἐστι τὸ προστάσσειν τόδε τι ποιεῖν· κωλύειν δὲ τὸ ἀπείργειν τι ἀπό τινος· ἐπιτρέπειν δὲ τὸ μήτε κωλύειν, μήτε προτρέπειν· τιμωρεῖσθαι δὲ τὸ ἀναγκαίως ἀπείργειν ἀπό τινος. (Β. ΙΙ. 1. 18)

17. Ὁ νόμος διαιρεῖται εἰς δύο· εἰς δημόσιον καὶ ἰδιωτικόν.

18. Νόμος οὐδεὶς δύναται βεβαιοῦν τὸ τῇ φύσει τῶν πραγμάτων κεκωλυμένον. (Β. ΙΙ. 3. 188. LII. 1. 26)

19. Τὰ περὶ ὧν οὐ κεῖται νόμος ἐκ τῶν ὁμοίων τέμνεσθαι καὶ λύεσθαι δεῖ. (Β. ΙΙ. 1. 23)

20. Τότε κεχρήμεθα τῇ συνηθείᾳ, ὅτε δοκιμασθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη. (Β. ΙΙ. 1. 43)

21. Οἱ εἰδικοὶ τῶν γενικῶν ἐπικρατέστεροι νόμων. (Β. ΙΙ. 1. 80)

22. Τὰ νόμῳ συνιστάμενα ἐναντίῳ νόμῳ ἀναιρεῖται. (*)

23. Τοὺς νόμους τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, οὐμὴν τῶν σπανίως, εἰσάγεσθαι δεῖ· οὐδὲ ἀπὸ τῶν δυναμένων ἐνὶ συμβῆναι θέματι· παραβαίνουσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ τὸ δὶς γενόμενον. (Β. ΙΙ. 1. 15—17)

(*) Οἷον ὑπάρχει νόμος διατάττων τοὺς γονεῖς νὰ γράφωσι τὰ τέκνα των κληρονόμους, ὁμοίως καὶ τὰ τέκνα νὰ γράφωσι τοὺς γονεῖς· ἀλλ' οὗτος ἀνῃρέθη ἀπὸ ἄλλον νόμον, ὅστις λέγει, τὰ τέκνα ἢ οἱ γονεῖς δὲν ἀναγκάζονται ἐὰν φανῶσιν ἀχάριστοι. Καὶ ἄλλος νόμος ὑπάρχει ἐπιτρέπων εἰς ὅλους τοὺς ἀνθρώπους, ἐλευθέρους καὶ αὐτεξουσίους, νὰ διαθέτωσι· καὶ ἄλλος προσέτι εἰσήχθη νόμος ἀπαγορεύων νὰ διαθέτωσιν ἐκεῖνοι, οἵτινες ἐπέφερον ἕνοπλον βίαν ἢ κατὰ τοῦ βασιλέως συνώμοσαν, καὶ ἄλλοι τινές. Κεῖται νόμος ἐμποδίζων τὰς γυναῖκας νὰ μετέρχωνται ἔργα ἀνδρῶν, οἷον νὰ συνηγορῶσι, νὰ ἐπιτροπεύωσιν· ἀλλ' εἰσήχθη ἄλλος, ἐπιτρέπων εἰς τὴν μάμμην καὶ τὴν μητέρα, ἐὰν παραιτῶσι τὸ Βελλιάνειον δόγμα, καὶ ὁμολογῶσιν ὅτι δὲν ἔρχονται εἰς δεύτερον γάμον, νὰ ἐπιτροπεύωσι τῶν ἰδίων τέκνων καὶ τῶν ἐγγόνων.

κουσίων πταισμάτων, κοινὴ συνθήκη πολιτείας· εἶναι δὲ καὶ θεῖον εὕρημα.

14. Παράγγελμα τοῦ νόμου εἶναι τὸ νὰ ζῇ τις ἐντίμως, ἄλλον νὰ μὴ βλάπτῃ, καὶ εἰς ἕκαστον ν' ἀποδίδῃ τὸ ἴδιον. Σοφία δὲ νόμου τὸ γινώσκειν τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα, τὸ δίκαιον καὶ τὸ ἄδικον.

15. Ἡ δὲ γνῶσις τῶν νόμων συνίσταται εἰς τὸ νὰ εἰξεύρῃ τις ὄχι τὰς λέξεις, ἀλλὰ τὴν δύναμιν αὐτῶν.

16. Ἀρετὴ τοῦ νόμου εἶναι τὸ νὰ προστάζῃ, ν' ἀπαγορεύῃ, νὰ ἐπιτρέπῃ, νὰ τιμωρῇ· καὶ νὰ προστάζῃ μὲν εἶναι τὸ νὰ διατάττῃ τί ὀφείλει ἕκαστος νὰ πράττῃ· ν' ἀπαγορεύῃ δὲ τὸ νὰ ἐμποδίζῃ ἀπό τι· νὰ ἐπιτρέπῃ δέ, τὸ μήτε νὰ ἐμποδίζῃ, μήτε νὰ προτρέπῃ· νὰ τιμωρῇ δὲ τὸ νὰ ἐμποδίζῃ ἀναγκαίως ἀπό τι.

17. Ὁ νόμος διαιρεῖται εἰς δύο· εἰς δημόσιον καὶ ἰδιωτικόν.

18. Οὐδεὶς νόμος δύναται νὰ κυρώνῃ ὅ,τι ἀπαγορεύεται ἀπὸ τὴν φύσιν τῶν πραγμάτων.

19. Περὶ ὅσων δὲν ὑπάρχει νόμος, ταῦτα ἀποφασίζονται καὶ λύονται ἀπὸ τὰ ὅμοια.

20. Τότε ἀκολουθοῦμεν τὴν συνήθειαν, ὅταν δοκιμασθεῖσα εἰς δικαστήριον ἐκυρώθη.

21. Οἱ εἰδικοὶ νόμοι εἶναι ἐπικρατέστεροι ἀπὸ τοὺς γενικούς.

22. Τὰ διὰ νόμου συνιστάμενα ἀναιροῦνται ἀπὸ ἄλλον ἐναντίον νόμον.

23. Οἱ νόμοι πρέπει νὰ εἰσάγωνται ἀπὸ τὰ συχνάκις συμβαίνοντα καὶ ὄχι ἀπὸ τὰ σπάνια· οὐδὲ ἀπὸ τὰ δυνάμενα νὰ συμβῶσιν εἰς μίαν περίστασιν· διότι τὸ ἅπαξ ἢ δὶς γινόμενον παρατρέχουσιν οἱ νομοθέται.

24. Ὅτε νόμος ἀντίκειταί τινι πράγματι, κἂν πάνυ δικαιότατόν ἐστι τὸ γινόμενον, ἀπρόσδεκόν ἐστι τοῖς δικαστηρίοις· οἷον νόμος ἐστὶ μὴ διδοσθαι πράγματα τῷ μὴ ὑπὲρ τὸν κέ. χρόνον ἀφήλικι. Εἰ οὖν ὁ ἐπίτροπος χειρίσῃ πράγματα κατὰ τὴν κδ'. ἡμέραν τοῦ ιϐ'. μηνὸς τοῦ κέ. χρόνου, καὶ δαπανήσῃ ταῦτα ὁ ἀφῆλιξ, ἔχει ἐπὶ τούτοις ἀποκατάστασιν· καίτοι γε οὐκ εἰκὸς τὸν ἀφήλικα διὰ τῶν λειπομένων ἐξ ἡμερῶν τοῦ τελείου αὐτοῦ χρόνου, φρονιμώτατον γενέσθαι. Πανταχοῦ τοίνυν, ἔνθα νόμος ὡρισμένος ἐστίν, ἐκεῖνον δεῖ φυλάττειν· καὶ οὐ κρατεῖ τὸ παρὰ τοῦτον γινόμενον, κἂν πάνυ δικαιότατόν ἐστιν. (Β. Ι. 6. 10)

25. Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν ἐν τοῖς ἀμφιβόλοις.

26. Οὐ δυνατὸν πάντων τῶν νόμων τὸν λογισμὸν ἀποδιδόναι.

27. Ὅταν ἑτερόν τι τὸ νόμιμον βούληται, ἕτερον δὲ τὸ δίκαιον, μόνος ὁ βασιλεὺς τὴν περὶ τούτου τέμνει ζήτησιν, ἐπειδὴ αὐτῷ πρέπει μόνῳ τὰ τοιαῦτα τέμνειν. (*) (Β. Ι. 6. 6)

28. Ὅπερ ἀρέσῃ τῷ βασιλεῖ, νόμος ἐστίν, εἴτε δι' ἐπιστολῆς ἐνυπογράφου ὁρίσῃ, ἢ διαγινώσκων ψηρίσηται, ἢ ὁπωσδηποτε· καὶ λέγεται ταῦτα διατάξεις. Τινὰ δὲ τούτων προσωπικά ἐστι, καὶ οὐχ ἑλκεται πρὸς ὑπόδειγμα, εἴτε πρὸς φιλοτιμίαν, εἴτε πρὸς ποινήν τινα ἐτέθησαν. (Β. Ι. 6. 2)

29. Ἡ μεταξὺ δύο τινῶν βασιλέως ἀπόφασις καὶ ἐπὶ τῶν παραπλησίων κρατείτω.

30. Ἐρρώσθω παράνομος ἀντιγραφὴ βασιλέως, ἐξ ὧν ἕτερον οὐκ ἀδικεῖ· ἢ ἐὰν ἐγκλήματος χαρίσηται παραχώρησιν.

Ἀντιγραφὴ δὲ λέγεται ἡ βασιλικὴ πρόσταξις διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐκ προηγουμένων ἀναφορῶν γίνεσθαι τὰς βασιλικὰς προσταγάς. (Β. Ι. 5. 7)

31. Αἱ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσι. (Β. Ι. 6. 5)

(*) Ὑποχρεοῦται ὁ βασιλεὺς νὰ διεκδικῇ καὶ νὰ διατηρῇ ὅσον τὸ δυνατὸν ἐπιμελῶς, πρῶτον μὲν ὅλα τὰ γεγραμμένα εἰς τὴν θείαν γραφήν, ἔπειτα δὲ καὶ τὰ παρὰ τῶν ἑπτὰ ἁγίων Συνόδων δογματισθέντα, προσέτι δὲ καὶ τοὺς ὑπάρχοντας Ῥωμαϊκοὺς νόμους.

24. Ὅταν νόμος ἀντίκηται εἰς πρᾶγμά τι, καὶ δικαιότατον ἐὰν ἦναι τὸ γινόμενον, εἰς τὰ δικαστήρια εἶναι ἀπαράδεκτον. Νόμος λ. χ. ὑπάρχει ἀπαγορεύων νὰ δίδωνται πράγματα εἰς τὸν μὴ συμπληρώσαντα τὸ κέ. ἔτος ἀνήλικον. Ἐὰν λοιπὸν ὁ ἐπίτροπος ἐγχειρίσῃ πράγματα κατὰ τὴν κδ'. ἡμέραν τοῦ ιϐ'. μηνὸς τοῦ κέ. ἔτους, καὶ δαπανήσῃ ταῦτα ὁ ἀνήλικος, ἔχει τὴν ἀποκατάστασιν αὐτῶν· ἂν καὶ δὲν φαίνεται ὅτι ὁ ἀνήλικος θὰ ἐγίνετο φρονιμώτερος εἰς τὰς ἐπιλοίπους ἓξ ἡμέρας τοῦ τελείου χρόνου· πανταχοῦ λοιπόν, ὅπου εἶναι νόμος ὡρισμένος, ἂν γὰ νὰ φυλάττεται· καὶ τὸ γινόμενον παρὰ τοῦτον δὲν ἰσχύει καὶ ἐὰν ἦναι δικαιότατον.

25. Οἱ νόμοι πρέπει νὰ ἑρμηνεύωνται εἰς τὰ ἀμφίβολα φιλαγάθως.

26. Δὲν εἶναι δυνατὸν ν' ἀποδίδεται ὁ λόγος ὅλων τῶν νόμων.

27. Ὅταν ἄλλο τι θέλῃ ὁ νόμος, ἄλλο δὲ τὸ δίκαιον, μόνος ὁ βασιλεὺς λύει τὴν περὶ τούτου ζητησιν, διότι αὐτὸς μόνος ἔχει ἐξουσίαν ν' ἀποφασίζῃ τὰ τοιαῦτα.

28. Ὅ,τι ἀρέσῃ τὸν βασιλέα, εἶναι νόμος, εἴτε δι' ἐπιστολῆς ἐνυπογράφου διατάξῃ, ἢ κατὰ διάγνωσιν ψηρίσῃ ἢ ὁπωσδήποτε· καὶ λέγονται ταῦτα διατάξεις. Τινὰ ὅμως τούτων εἶναι προσωπικὰ καὶ δὲν λαμβάνονται ὡς παράδειγμα, εἴτε πρὸς χάριν, εἴτε πρὸς ποινὴν διετάχθησαν.

29. Ἡ μεταξὺ δύο τινῶν ἀπόφασις βασιλέως ἰσχύει καὶ εἰς τὰ ὅμοια.

30. Ἡ παράνομος ἀντιγραφὴ βασιλέως ἰσχύει, ὅταν δὲν ἀδικῇ ἄλλον· ἢ ἐὰν συγχωρῇ ἔγκλημα. Ἀντιγραφὴ δὲ λέγεται ἡ βασιλικὴ προσταγὴ διότι συνήθως γίνεται ἀπὸ προηγουμένας ἀναφοράς.

31. Αἱ μεταγενέστεραι διατάξεις εἶναι ἐπικρατέστεραι ἀπὸ τὰς πρὸ αὐτῶν.

32. Καὶ κατὰ βασιλέως οἱ γενικοὶ κρατείτωταν νόμοι· καὶ πᾶσα παράνομος ἐκβαλλέσθω παραγραφή. (Β. Η. 6. 9)

33. Παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν· εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ· εἰ δὲ μηδὲ ταῦτα εὑρίσκηται, τότε τὸ νόμιμον, ᾧ τινι Ῥώμη κέχρηται, παραφυλάττειν δεῖ. (Β. Η. 1. 41)

34. Ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται, καὶ ὥσπερ ἡ σύνθεσις τοῦ νόμου ἢ ἔγγραφός ἐστιν ἢ ἄγραφος, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ ἢ δι' ἐγγράφου γίνεται νόμου, ἢ δι' ἀγράφου, τοὐτέστιν ἀχρησίας. (Β. Η. 1. 41)

35. Ὁ ἄρχων, ὃ ἂν εὕροι συχνάζον ἐν τῇ πόλει ἐπί τινος πράγματος, φυλάξει αὐτό· καὶ γὰρ ἡ συνήθεια ἡ προλαβοῦσα καὶ ὁ λογισμὸς ὁ εἰσάγων αὐτὴν φυλακτέα ἐστί, καὶ οὐκ ἐάσει τι παρὰ τὴν μακρὰν συνήθειαν γίνεσθαι. (*) (Β. Η. 1. 50)

36. Παρήγγειλεν ὁ Μάγιστρος οὕτω προσέχειν, ὅτε διάφοροι νόμοι περὶ τοῦ αὐτοῦ λέγουσι πράγματος καὶ τυποῦσι, μή, εἴπερ ἕτερόν τι ἓν νόμιμον εὑρεθῇ ἴσως ἐναντιοφανές· αὐτῷ μόνῳ προσέχειν ἀλλὰ κατὰ τὴν τῶν πολλῶν νομίμων ἔννοιαν ἑρμηνεύειν καὶ τὴν τοῦ ἑνός.

37. Τὸ μὴ μετὰ τοῦ λογισμοῦ εἰσενεχθέν, ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρατῆσαν οὐ δεῖ κρατεῖν ἐν τοῖς ὁμοίοις. (**)

(*) Ἐπεκράτησε σήμερον καὶ πολιτεύεται εἰς ὅλα τὰ δικαστήρια καὶ ἀκολουθεῖται ὥστε νὰ ἀρκῶσι δύο μάρτυρες ἐπὶ ἀπαιτήσει μιᾶς λίτρας. Τοῦτο λοιπὸν τὸ ἔθιμον ὀφείλει πᾶς προϊστάμενος δικαστηρίου νὰ φυλάττῃ καὶ νὰ μὴ ἐπιτρέπῃ νὰ γίνηταί τι παρὰ τὴν συνήθειαν ταύτην. Ὡσαύτως ἀπὸ πολυχρόνιον συνήθειαν καθιερώθη καὶ τὸ νὰ μὴ ὁμνύωσιν οἱ ἡγούμενοι ἢ οἱ μητροπολῖται ὅταν ἡ μονὴ ἢ ἡ μητρόπολις μὴ ἔχουσα ἀπόδειξιν καταντήσῃ εἰς ὅρκους· ἀλλὰ τρεῖς τῶν μοναχῶν ἢ τῶν κληρικῶν, ὅταν τὰ μοναστήρια ὦνται πολυάνθρωπα· ἤ δύο τὸ ἐλάχιστον, τῆς ἐκλογῆς φυλαττομένης ἄχρι καὶ τῶν τελευταίων. Ὑπάρχει καὶ νόμος λέγων νὰ μὴ ὁμνύωσιν οἱ μάρτυρες, μηδὲ ἀπὸ τοὺς τόπους τῆς κατοικίας των νὰ μεταβιβάζωνται εἰς ἄλλον διὰ μαρτυρίαν, ἐκτὸς ἐὰν ὁ δικαστὴς εὕρῃ συνήθειαν νὰ μετακαλῇ αὐτοὺς καὶ ἀπὸ πόλεως εἰς πόλιν· εὑρίσκων λοιπὸν ὁ δικαστὴς τοιαύτην συνήθειαν εἴς τινα τόπον, ὀφείλει νὰ τὴν φυλάττῃ καὶ νὰ μὴ τὴν παραβλέπῃ.

32. Οἱ γενικοὶ νόμοι ἰσχύουσι καὶ κατὰ τοῦ βασιλέως. Καὶ πᾶσα παράνομος ἐξαίρεσις ἀπορρίπτεται.

33. Πρέπει νὰ τηρῶνται τὰ ἔθιμα καὶ ἡ συνήθεια· ἐλλείψει δὲ αὐτῶν πρέπει ν' ἀκολουθῶμεν τὰ πλησιάζοντα καὶ τὰ ὁμοιάζοντα μὲ τὸ ζητούμενον· ἐὰν δὲ μηδὲ τοιαῦτα εὑρίσκωνται, τότε τὸ νόμιμον τὸ εἰς τὴν Ρώμην εὔχρηστον πρέπει νὰ ἀκολουθῶμεν.

34. Ἡ παλαιὰ συνήθεια φυλάττεται ἀντὶ νόμου, καὶ καθὼς ἡ σύνθεσις τοῦ νόμου εἶναι ἢ ἔγγραφος ἢ ἄγραφος, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ γίνεται διὰ νόμου ἢ ἐγγράφου ἢ ἀγράφου, τουτέστι τῆς ἀχρησίας.

35. Ὅ,τι εὕρῃ ὁ δικαστὴς συχνὰ γινόμενον εἰς πόλιν τινὰ ἐπί τινος πράγματος, τὸ φυλάττει· διότι καὶ ἡ προλαβοῦσα συνήθεια καὶ ὁ εἰσαγαγὼν αὐτὴν λόγος εἶναι φυλακτέα, καὶ δὲν συγχωρεῖται νὰ γίνεταί τι παρὰ τὴν πολυχρόνιον συνήθειαν

3. Ἐὰν καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι.

4. Ἐὰν γένηται πατρίκιος ὁ ὑπεξούσιος, ἅμα τῷ δέξασθαι τοὺς κωδικέλλους τῆς πατρικιότητος τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάσσεται.

5. Τὸν ἐμὸν πατέρα συνέβη γενέσθαι αἰχμάλωτον, ἐν τῷ μεταξὺ ἀνηρτημένα ἔσται τὰ τῆς ὑπεξουσιότητος· καὶ εἰ μὲν ὑποστρέψῃ ὁ πατὴρ, ἔσομαι αὐτῷ ὑπεξούσιος, εἰ δὲ τελευτήσῃ, γενήσομαι αὐτεξούσιος. Ζητοῦμεν δὲ ἐκ ποίου χρόνου δοκῶ τῆς ὑπεξουσιότητος ἀπαλλάττεσθαι, ἐξ οὗ ἐλήφθη ὁ πατὴρ ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις· ἔστι γὰρ ὅλως τις διαφορὰ καὶ πάνυ.

6. Ὑπόθου γὰρ ἔχειν τινὰ δύο παῖδας καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε ὑπὸ τῶν πολεμίων· τούτων ὁ μὲν ἦν σπουδαῖος καὶ λαβὼν νομ. δύο ἐκ τῆς τοῦ πατρὸς περιουσίας, ἐξ οἰκείων καμάτων ἠδυνήθη χίλια νομίσματα ἐμπορευσάμενος κερδᾶναι· ὁ δὲ ἕτερος ῥάθυμος ὢν οὐδὲν προσεκτήσατο· μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν αὐτῶν ὁ

Τώρα δὲ θὰ ἐξετάσωμεν κατὰ ποῖον τρόπον διαλύεται ἡ ὑπεξουσιότης· πλὴν περὶ μὲν τῶν δούλων δηλοῦται εἰς τὸν περὶ ἐλευθεριῶν τίτλον, περὶ δὲ τῶν τέκνων ἐντεῦθεν.

2. Λύεται ὁ υἱὸς τῆς ὑπεξουσιότητος διὰ τοῦ θανάτου τοῦ πατρὸς, ὄχι ὅμως πάντοτε· διότι εἰ μὲν ὁ ἀποθανὼν εἶναι πατὴρ, ἀναντιῤῥήτως τὰ τέκνα γίνονται αὐτεξούσια· ἀποθανόντος δὲ τοῦ πάππου δὲν γίνονται οἱ ἔγγονοι ἐξάπαντος αὐτεξούσιοι· διότι πρέπει νὰ ἐξετάζηται ὁ καιρὸς τοῦ θανάτου τοῦ πάππου· καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱὸς ὑπεξούσιος, οἱ δὲ ἔγγονοι κατὰ τὸν καιρὸν τοῦ θανάτου ὑπεξούσιοι τοῦ πάππου, οἱ ἔγγονοι γίνονται ὑπεξούσιοι τοῦ πατρὸς ἀποθανόντος τοῦ πάππου, ὡς μεταπίπτοντες εἰς τὴν ὑπεξουσιότητα τοῦ ἰδίου των πατρός. Εἰ δὲ ὁ μέσος ἢ ἀπέθανε πρὸ τοῦ πατρὸς ἢ ἠλευθερώθη τῆς ὑπεξουσιότητος αὐτοῦ, τότε οἱ ἔγγονοι, ἐπειδὴ δὲν μεταπίπτουσιν εἰς ἄλλην ὑπεξουσιότητα, γίνονται αὐτεξούσιοι.

3. Ἐάν τις καταδικασθῇ εἰς θάνατον, ἅμα τῇ ἀποφάσει τὰ τέκνα αὐτοῦ γίνονται αὐτεξούσια.

4. Ἐὰν ὁ ὑπεξούσιος γείνῃ πατρίκιος, ἅμα δεχθῇ τὰ γράμματα τῆς πατρικιότητος ἀπαλλάσσεται τῆς ὑπεξουσιότητος τοῦ πατρός.

5. Συνέβη νὰ αἰχμαλωτισθῇ ὁ πατήρ μου, ἐν τῷ μεταξὺ ἡ ὑπεξουσιότης ἀργεῖ· καὶ εἰ μὲν ὁ πατὴρ ὑποστρέψῃ, γίνομαι ὑπεξούσιος αὐτοῦ, εἰ δὲ ἀποθάνῃ, γίνομαι αὐτεξούσιος. Ζητοῦμεν δὲ ἀπὸ ποῖον καιρὸν λογίζομαι ἐλεύθερος τῆς ὑπεξουσιότητος, ἀφότου συνελήφθη ὁ πατὴρ ἢ ἀφότου ἀπέθανεν εἰς τοὺς πολεμίους; διότι εἶναι διαφορά τις καὶ σπουδαία.

6. Ὑπόθεσον ὅτι ἔχων τις δύο τέκνα καὶ περιουσίαν δισχιλίων νομισμάτων, ἠχμαλωτίσθη. Τούτων τὸ ἓν ἦτο ἐπιμελὴς καὶ λαβὼν ἐκ τῆς περιουσίας τοῦ πατρὸς δύο νομίσματα, ἠδυνήθη ἐμπορευόμενον νὰ κερδήσῃ μὲ τοὺς κόπους του χίλια νομίσματα· τὸν δὲ ἄλλο ὡς ὀκνηρὸν οὐδὲν προσαπέκτησε. Μετά τινα καιρὸν ἀνηγγέλθη ὅτι ὁ πατὴρ αὐτῶν ἀπέθανεν εἰς τοὺς πολεμίους. Ἤθελο

πατήρ· ἐβούλοντο μερίσασθαι τὸν πατρῷον κλῆρον, καὶ ὁ μὲν ῥᾴθυμος ἔλεγε· νῦν, ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησε, γεγόναμεν αὐτεξούσιοι· οὐκοῦν ὅσα ἐκτήσω σὺ ὁ σπουδαῖος, τοῦ πατρός ἐστι καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι, τουτέστι λαβεῖν ἀνὰ χιλίων πεντακοσίων· ὁ δὲ σπουδαῖος ἔλεγεν· ἐξ ἐκείνου, ἐξ οὗ συνέβη ληρθῆναι τὸν πατέρα, γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους· δοκεῖ γὰρ ὁ μὴ ὑποστρέψας κατ' ἐκεῖνον τεθνᾶναι τὸν καιρόν· οὐκοῦν ὡς αὐτεξούσιος, ὅσα ἂν ἐκτησάμην, ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεπόρισα. Καὶ μᾶλλον ταύτῃ πειθόμεθα τῇ γνώμῃ.

7. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα αὐτοῦ ποιῆσαι, προσίτω τῷ ἁρμοδίῳ δικαστῇ, καὶ λεγέτω αὐτῷ, ὅτι τόνδε ποιῶ αὐτεξούσιον, καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός· ὥστε εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διαθέσθαι, ἐρρῶσθαι τὴν ἐκείνου διαθήκην, φυλάττοντος δηλονότι τὴν νόμιμον μοῖραν τῷ πατρί.

8. Ἡ δὲ ις'. Νεαρὰ τοῦ Καίσαρος Λέοντος οὕτω φησίν· ἐπειδὴ δὲ πρὸς τοῖς ἄλλοις τρόποις καὶ οὗτος ἐδείκνυε τὸν παῖδα αὐτεξούσιον, εἴγε ὁ τὴν ἐπιτροπὴν ἐγχειρισμένος, εἴτε πατὴρ εἴτε πρωπάτωρ, τὸ ἀπόλυτον αὐτῷ οἰκείῳ στόματι ἐδωρεῖτο, ἡμεῖς καὶ τοῦτο προσεπισυνάπτομεν· ὡς εἰ πρὸς διαγωγὴν ἰδιογνωμοῦσαν ὀρθείη μόνον ὁ παῖς καταστὰς ἄν τε γλῶσσα μὲν οὐ παρέσχε τοῦτο, ἄλλως δὲ γνώμη σιωπῶσα καὶ ἰδίως ῥυθμιζομένῳ τῷ παιδὶ οὐκ ἐναντιουμένη, ἀλλὰ παραχωρήσασα καθ' ἑαυτὸν διάγειν κἂν ᾖ γαμικῆς ἡλικίας ἔξω, εἶναι καὶ αὐτῷ κεκυρωμένον τὸ ὑπεξούσιον.

9. Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, τὸν δὲ ἔκγονον κρατεῖν ὑπεξούσιον· καὶ ἐκ τοῦ ἐναντίου, τὸν ἔκγονον ποιεῖν αὐτεξούσιον, κατέχειν δὲ ὑπεξούσιον τὸν υἱόν· τὸ αὐτὸ καὶ περὶ προεκγόνων.

10. Εἶχέ τις υἱὸν ὑπεξούσιον, ᾧ εἶχε γαμετὴν ἐγκύμονα· τὸν υἱὸν ἐποίησεν αὐτεξούσιον ἢ εἰς θέσιν αὐτὸν ἄλλῳ δέδωκεν. Ἐτοῦ πάππου, ἐπειδὴ σκοποῦμεν ἐπὶ τῶν ἐννόμων γάμων τὸν καιρὸν μοιράσωσι τὴν πατρικὴν κληρονομίαν, καὶ τὸ μὲν ὀκνηρὸν ἔλεγε· σήμερον, ὅτε πράγματι ἀπέθανεν ὁ πατήρ, ἐγείναμεν αὐτεξούσιοι· λοιπὸν ὅσα ἀπέκτησες σὺ ὁ ἐπιμελὴς, εἶναι τοῦ πατρὸς καὶ πρέπει νὰ μοιρασθῶμεν τὰ τρισχίλια, τουτέστι νὰ λάβῃ ἕκαστος ἀνὰ χίλια πεντακόσια. Ὁ δὲ ἐπιμελὴς ἔλεγεν· ὑμεῖς ἐγείναμεν αὐτεξούσιοι ἀφότου ἠχμαλωτίσθη ὁ πατήρ· διότι ὁ μὴ ὑποστρέψας λογίζεται ὅτι ἀπέθανε κατ' ἐκεῖνον τὸν καιρόν· ὡς αὐτεξούσιος λοιπὸν, ὅσα ἀπέκτησα, ἀνήκουσιν εἰς ἐμὲ καὶ ὄχι εἰς ἄλλον. Καὶ ἀποδεχόμεθα περισσότερον τὴν γνώμην ταύτην.

7. Ὁ μέλλων νὰ κάμῃ τὸ τέκνον αὐτοῦ αὐτεξούσιον, προσέρχεται εἰς τὸν ἁρμόδιον δικαστὴν, καὶ λέγει ὅτι κάμνω τοῦτον αὐτεξούσιον καὶ τὸν χειραφετῶ· ὥστε ἐὰν συμβῇ νὰ διαθέσῃ τὸ τέκνον ἄτεκνον ὄν, ἰσχύει ἡ διαθήκη του, φυλάττοντος δηλ. τὴν νόμιμον μοῖραν εἰς τὸν πατέρα.

8. Ἡ δὲ ις'. νεαρὰ τοῦ καίσαρος Λέοντος οὕτω λέγει· ἐπειδὴ πρὸς τοὺς ἄλλους τρόπους καὶ οὗτος ἀπεδείκνυε τὸ τέκνον αὐτεξούσιον, ἐὰν δηλ. ὁ ἐπιτροπεύων, εἴτε πατὴρ, εἴτε προπάτωρ, ἐχάριζε τὴν αὐτεξουσιότητα διὰ τοῦ ἰδίου του στόματος, ἡμεῖς καὶ τοῦτο προσθέτομεν. Ἐὰν ὁ νέος φανῇ ὅτι πολιτεύεται ἰδιογνωμόνως καὶ ἂν ῥητῶς δὲν ὁμολόγησε τοῦτο, ἄλλως δὲ κατὰ σιωπηρὰν συναίνεσιν δὲν ἠναντιώθη εἰς τὴν ἰδιογνωμονοῦσαν τοῦ τέκνου διαγωγὴν, ἀλλὰ παρεχώρησε νὰ διάγῃ μόνον καὶ ἐὰν δὲν ἔρθασεν εἰς ἡλικίαν γάμου, κυροῦται καὶ εἰς αὐτὸ τὸ αὐτεξούσιον.

9. Δύναταί τις τὸν μὲν υἱὸν νὰ κάμῃ αὐτεξούσιον, τὸν δὲ ἔγγονον νὰ κρατῇ ὑπεξούσιον· καὶ τοὐναντίον, τὸν ἔγγονον νὰ κάμῃ αὐτεξούσιον, τὸν δὲ υἱὸν νὰ κρατῇ ὑπεξούσιον· τὸ αὐτὸ ἰσχύει καὶ ἐπὶ προεγγόνων.

10. Εἶχέ τις υἱὸν ὑπεξούσιον, τοῦ ὁποίου ἡ γυνὴ ἦτον ἔγκυος· ἔκαμε τὸν υἱὸν αὐτεξούσιον, ἢ τὸν ἔδωκεν ὡς θετὸν πρὸς ἄλλον. Ἐγεννήθη μετὰ ταῦτα ἔγγονος· λέγομεν ὅτι αὐτὸς γίνεται ὑπεξούσιος τοῦ πάππου, διότι εἰς τὸν ἔννομον γάμον λαμβάνομεν ὑπ'

ρὸν τῆς συλλήψεως· ὅτε δὲ ἡ σύλληψις γέγονεν, ὑπεξούσιος ἦν ὁ υἱὸς ὁ τοῦτον σπείρας.

11. Ἡ ἔμπρακτος ἐπαρχαιότης ἢ στρατηγία ἢ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα.

ΤΙΤΛ. ΙΗ'. — *Περὶ Ἐλευθεριῶν.*

1. Τῶν προσώπων ἄκρα διαίρεσίς ἐστιν αὕτη· ὅτι τῶν ἀνθρώπων οἱ μὲν εἰσὶν ἐλεύθεροι, οἱ δὲ δοῦλοι.

2. Καὶ τὴν μὲν ἐλευθερίαν, ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπινενόηται προσηγορία, οὕτως ὁρίζεσθαι χρή· ἐλευθερία ἐστὶν εὐχέρεια φυσικὴ ἑκάστῳ συγχωροῦσα πράττειν, ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύσῃ· βία μὲν ἐπειδὴ βουλόμενόν με ἔσθ' ὅτε τι πράξαι, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, διακωλύει τις ἰσχύϊ μείζονι βιασάμενος· νόμῳ δὲ, ὅτι τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι· οἰκέτῃ γὰρ ποιεῖν τι κατὰ γνώμην καὶ δεσπότου δέος ἐμποδίζει.

3. Δουλεία ἐστὶν ἐθνικοῦ νόμου διατύπωσις, ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ, ὑπεναντίον φυσικοῦ νόμου· ἡ γὰρ φύσις ἐλευθέρους πάντας προήγαγεν, ἡ δὲ τῶν πολεμίων ἐπίνοια τὴν δουλείαν ἐφεῦρεν· ὁ γὰρ τοῦ πολέμου νόμος, κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους εἶναι.

4. Οἱ δοῦλοι ἢ τίκτονται ἢ γίνονται· τίκτονται οἱ ἐκ τῶν ἡμετέρων ἡμῖν προσγινόμενοι θεραπαινῶν· γίνονται οἱ ἐκ τῶν ἐθνικῶν νομίμων, τουτέστιν ἐκ τῆς αἰχμαλωσίας.

5. Καὶ ἡ μὲν τῶν δούλων τύχη οὐδεμίαν ἐπιδέχεται διαίρεσιν· οὐ γάρ ἐστιν εἰπεῖν ἐπ' αὐτῶν, μᾶλλον ἢ ἧττον δοῦλος· ἐστὶν οὖν ἄτομος ἡ δουλεία· ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς εὑρίσκομεν διαφοράς· ἢ γὰρ εὐγενεῖς εἰσιν ἢ ἀπελεύθεροι.

6. Οἱ ἐλεύθεροι εἰς δύο διαιροῦνται, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους· καὶ εὐγενής ἐστιν ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὢν

ὄψιν τὸν καιρὸν τῆς συλλήψεως· ὅταν δὲ ἔγεινεν ἡ σύλληψις, ὁ σπείρας αὐτὸν υἱὸς ἦτον ὑπεξούσιος.

11. Τὸ ἀξίωμα τοῦ ἐπάρχου ἢ ἡ στρατηγία ἢ ἡ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα.

ΤΙΤΛ. ΙΗ'. *Περὶ Ἐλευθεριῶν.*

1. Τῶν προσώπων ἄκρα διαίρεσις εἶναι αὕτη· ὅτι τῶν ἀνθρώπων τινὲς μὲν εἶναι ἐλεύθεροι, τινὲς δὲ δοῦλοι.

2. Καὶ ἡ ἐλευθερία ἀπὸ τὴν ὁποίαν ἐπενοήθη ἡ ὀνομασία τῶν ἐλευθέρων, ὁρίζεται οὕτως. Ἐλευθερία εἶναι φυσικὴ εὐχέρεια συγχωροῦσα εἰς ἕκαστον νὰ πράττῃ ὅ,τι θέλει, ἐκτὸς ἐὰν ἐμποδίζῃ νόμος ἢ βία· βία μὲν, διότι θέλων νὰ πράξω ἐνίοτέ τι τὸ ὁποῖον δὲν ἀπαγορεύουσιν οἱ νόμοι, μὲ ἐμποδίζει τις ἐπιφέρων βίαν μεγαλειτέρας δυνάμεως· νόμος δὲ, ὅταν ἀπὸ ἀπειλὰς τιμωριῶν ἐμποδίζομαι νὰ κάμω ὅ,τι θέλω· διότι τοῦ δεσπότου ὁ φόβος ἐμποδίζει καὶ τὸν δοῦλον νὰ κάμῃ τι κατ' ἰδίαν αὐτοῦ γνώμην.

3. Ἡ δουλεία εἶναι σύστασις τοῦ διεθνοῦς δικαίου, ἀπὸ τὴν ὁποίαν ὑποβάλλεταί τις εἰς τὴν δεσποτείαν ἄλλου, ἐναντίον τοῦ φυσικοῦ δικαίου. Διότι ἡ φύσις παρήγαγεν ὅλους ἐλευθέρους, ἡ δὲ ἐπίνοια τῶν πολεμίων ἐφεῦρε τὴν δουλείαν· καθόσον ὁ νόμος τοῦ πολέμου, θέλει τοὺς νικημένους νὰ ἦναι κτῆμα τῶν νικητῶν.

4. Οἱ δοῦλοι ἢ γεννῶνται ἢ γίνονται· γεννῶνται οἱ ἀπὸ τὰς δούλας ἡμῶν προσαποκτώμενοι· γίνονται οἱ κατὰ τὸ διεθνὲς δίκαιον αἰχμαλωτιζόμενοι.

5. Καὶ ἡ μὲν κατάστασις τῶν δούλων καμμίαν δὲν ἐπιδέχεται διαίρεσιν· διότι δὲν εἶναι δυνατὸν νὰ εἴπῃ τις ἐπ' αὐτῶν πλέον ἢ ἔλαττον δοῦλος· ἡ δουλεία λοιπὸν εἶναι ἀδιαίρετος· ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς εὑρίσκομεν διαφοράς· διότι εἶναι ἢ εὐγενεῖς ἢ ἀπελεύθεροι.

6. Οἱ ἐλεύθεροι διαιροῦνται εἰς δύο, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. Καὶ εὐγενὴς εἶναι ὁ εὐθὺς ἀπὸ γενετῆς ἐλεύθερος ὢν καὶ μὴ

καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου εὐγενῶν τεχθῇ, εἴτε ἐκ δύο ἀπελευθέρων· εἴτε τὸ ἓν πρόσωπόν ἐστιν εὐγενὲς, τὸ δὲ ἕτερον ἀπελεύθερον.

7. Εἰ δὲ καί τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς, εὐγενὴς ὁμοίως ἔσται· ὥσπερ ὁ ἐξ ἐλευθέρας μητρὸς καὶ ἀδήλου πατρὸς, τουτέστιν ἀπὸ πορνείας τεχθείς· οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν· ἀρκεῖ γὰρ ἐλευθέραν εἶναι τὴν μητέρα κατὰ τὸν χρόνον τοῦ τοκετοῦ, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς οἶδεν αὐτὴν δοῦλην.

8. Καὶ ἐκ τοῦ ἐναντίου, εἰ ἐλευθέρα συλλάβῃ, καταδουλωθεῖσα δὲ κατά τινας αἰτίας νόμῳ ἐγνωσμένας τέξῃ, ἐλεύθερον ἔσται τὸ τεχθέν· ὁ γὰρ κυοφορούμενος οὐ βλάπτεται ἐκ τῆς συμφορᾶς τῆς περιστάσης τὴν μητέρα.

9. Ἐάν τις δοῦλη οὖσα κατὰ τὸν καιρὸν συνελαβε τῆς δουλείας καὶ ἠλευθερώθη, ὀλίγου δὲ χρόνου παραδραμόντος πάλιν κατεδουλώθη, εἶτα τέτοκε μετὰ τὴν καταδούλωσιν, κελεύομεν ἐλεύθερον εἶναι τὸ τικτόμενον· ἀρκεῖ γὰρ τῷ ὄντι ἐν τῇ γαστρὶ τὸ κατὰ τὸν μέσον καιρὸν ἐλεύθεραν εἶναι τὴν μητέρα.

10. Δύνατάί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον ἢ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἢ ἐπὶ ἄρχοντος ἢ ἐπὶ φίλων ἢ δι' ἐπιστολῆς ἢ ἐν διαθήκῃ ἢ ἐν οἱᾳδήποτε τελευταίᾳ βουλήσει.

11. Ἡ ἐλευθερία πρᾶγμά ἐστιν ἀδιατίμητον (*) (Β. Η. 3. 106)

(*) Ἐάν τις πληγώσῃ ἢ ὁλοτελῶς φονεύσῃ τὸν δοῦλόν μου, μὲ δίδεται κατ' αὐτοῦ ἀγωγὴ, τουτέστιν ὁ Ἀκουίλιος· καὶ κινῶν αὐτὴν λαμβάνω τὸ τίμημα τοῦ πληγωθέντος δούλου μου, ὅταν ἡ πληγὴ ἦναι μεγάλη καὶ ἀνίατος· ὅταν δὲ φονευθῇ καὶ χαθῇ ὁλοτελῶς, λαμβάνω τὸ ὅλον τῆς ἐκτιμήσεώς του· διότι ἐκτιμᾶται ὡς δοῦλος καὶ μὲ δίδεται ὅλον αὐτοῦ τὸ ἐκτίμημα. Εἰ δέ τις πληγώσῃ τὸν ὑπεξούσιόν μου υἱὸν, δὲν ἐνάγεται μὲ τὸν ἀκουίλιον, ὡς ὁ πληγώσας τὸν δοῦλόν μου· διότι ὁ Ἀκουίλιος ἀπαιτεῖ καὶ τοῦ πράγματος τὸ ἐκτίμημα, καὶ πᾶσαν ἄλλην ζημίαν, ἥτις ἀπὸ τοῦ πράγματος τὸν χαμὸν καὶ τὸν σκοτωμὸν ἐπῆλθεν εἰς τὸν ζημιωθέντα. Ἐνέχεται ὅμως

γευθεὶς ποτε τὸν ζυγὸν τῆς δουλείας, εἴτε ἀπὸ συνοικέσιον εὐγενῶν γεννηθῇ, εἴτε ἀπὸ δύο ἀπελευθέρων· εἴτε τὸ ἓν πρόσωπον εἶναι εὐγενὲς, τὸ δὲ ἄλλο ἀπελεύθερον.

7. Εἰ δὲ καὶ γεννηθῇ τις ἀπὸ μητέρα ἀπελευθέραν, πατέρα δὲ δοῦλον, εἶναι ὁμοίως εὐγενὴς, καθὼς ὁ ἐξ ἐλευθέρας μητρὸς καὶ ἀδήλου πατρὸς γεννηθεὶς, τουτέστιν ἀπὸ πορνείαν· διότι δὲν βλάπτει τὴν εὐγένειαν τοῦ τέκνου γενομένης τῆς συλλήψεως ἐκ πορνείας· καθόσον ἀρκεῖ κατὰ τὴν γέννησιν νὰ ἦναι ἡ μήτηρ ἐλευθέρα, ἂν καὶ κατὰ τὴν σύλληψιν ἦτο δούλη.

8. Καὶ τοὐναντίον, ἐὰν ἐλευθέρα συλλάβῃ, γεννήσῃ δὲ εἰς δουλασύνην κατά τινας αἰτίας ὁριζομένας ἀπὸ τὸν νόμον, τὸ γεννηθὲν εἶναι ἐλεύθερον· διότι τὸ κυοφορούμενον δὲν βλάπτεται ἀπὸ τὴν ἐπελθοῦσαν εἰς τὴν μητέρα συμφοράν.

9. Ἐάν τις οὖσα δούλη συνέλαβε κατὰ τὸν καιρὸν τῆς δουλείας καὶ ἠλευθερώθη, καὶ πάλιν μετ' ὀλίγον κατεδουλώθη, ἔπειτα μετὰ τὴν ὑποδούλωσιν ἐγέννησε, διατάσσομεν τὸ γεννηθὲν νὰ ἦναι ἐλεύθερον· διότι ἀρκεῖ εἰς τὸ κυοφορούμενον νὰ ἦναι ἡ μήτηρ ἐλευθέρα κατὰ τὸν μέσον καιρόν.

10. Δύναταί τις νὰ ἐλευθερόνῃ τὸν δοῦλόν του ἢ εἰς τὰς ἁγιωτάτας ἐκκλησίας ἢ ἐνώπιον δικαστοῦ ἢ φίλων ἢ δι' ἐπιστολῆς ἢ εἰς διαθήκην ἢ εἰς οἱανδήποτε τελευταίαν βούλησιν.

11. Ἡ ἐλευθερία εἶναι πρᾶγμα ἀδιατίμητον.

εἰς τὰ ἔξοδα τῆς ἰατρείας, καὶ τὰ καταβάλλει, ὄχι ὡς τῆς πληγῆς ἐκτίμησιν, ἀλλ' ὡς ποινὴν ἐπιβαλλομένην εἰς αὐτὸν ἀπὸ τοὺς νόμους· διότι ἡ ἐλευθερία εἶναι πρᾶγμα ἀνεκτίμητον, καὶ τίμημα αὐτῆς δὲν δυνάμεθα νὰ προσδιορισωμεν. Ὁ δὲ πληγώσας δὲν μὲ δίδει μόνα τῆς ἰατρείας τὰ ἔξοδα, ἀλλὰ καὶ ὅ,τι ἄλλο μὲ διαφέρει· διότι ἀνίσως ὁ ὑπεξούσιός μου υἱὸς μετήρχετο καθ' ἑκάστην τέχνην τινὰ, καὶ ἀπὸ ταύτην μὲ ἐπροσπόριζε δέκα, ἢ καὶ πλειότερα νομίσματα, διὰ δὲ τὸ πλήγωμα ἐστερήθην ἐγὼ ταῦτα, λαμβάνω καὶ ταῦτα ἀπὸ τὸν πληγώσαντα, λογιζομένων τῶν ἡμερῶν τῆς ἀργίας καὶ τῶν κερδῶν, ὅσα καθ' ἑκάστην ὤφειλεν ὡς μισθὸν νὰ κερδίζῃ.

12. Πλεῖον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν. (Β. Π. 3. 122.)

13. Ἀδήλου τῆς γνώμης οὔσης τοῦ ἐλευθεροῦντος ἡ ἐλευθερία θάλπεται. (Β. Π. 3. 179.)

14. Ἡ διάταξις κελεύει περὶ πάσης ἐλευθερίας, εἴτε παρὰ στρατιώτου, εἴτε παρὰ ἰδιώτου, εἴτε ζῶν ἐλευθερώσῃ τις τὸν ἐπίκοινον οἰκέτην, εἴτε τελευτῶν, εἴτε ἥμισυ, εἴτε τρίτον, εἴτε ὁσονδήποτε μέρος ἔχει τοῦ οἰκέτου, εἴτε δύο, εἴτε πλείονές εἰσι κοινωνοί, ἀνάγκην αὐτοὺς ἔχειν τὰ ἴδια μέρη πιπράσκειν, ἢ αὐτῷ τῷ βουλομένῳ κοινωνῷ ἐλευθερῶσαι, ἢ τῷ κληρονόμῳ αὐτοῦ· ἐξέστω δὲ καὶ αὐτὸν τὸν οἰκέτην σὺν ἐλευθερίᾳ γράφειν κληρονόμον, ἵνα αὐτῷ δώσῃ τὸ ἴδιον τίμημα. (Β. XLVII. 14. 4. καὶ 5.)

15. Εἰ δὲ παραιτήσονται οἱ κοινωνοὶ πωλῆσαι τὸ ἴδιον μέρος καὶ λαβεῖν τὸ τίμημα, γενέσθω ἐκεῖνος ἐλεύθερος, μηδὲ τοῦ τιμήματος διδομένου.

16. Τὸ δὲ πεκούλιον αὐτοῦ πάντες οἱ κοινωνοὶ ἐχέτωσαν κατὰ μέρος τῆς δεσποτείας, ἐξουσίαν ἔχοντος τοῦ ἐλευθεροῦντος τὸ ἴδιον μέρος τοῦ πεκουλίου παραχωρῆσαι τῷ ἐλευθερουμένῳ, τῶν πατρωνικῶν δικαίων ἁρμοζόντων ἐκείνῳ μόνῳ τῷ ἐλευθερώσαντι· ἐὰν δὲ ὁ δοῦλος λογοθεσίοις ὑπόκειται, ὁ ἄρχων ὁριζέτω χρόνον, οὗτινος ἐντὸς καὶ τὰ λογοθέσια ὀφείλει ὁ δοῦλος ὑποστῆναι καὶ παρασχεῖν, εἴ τι χρεωστεῖ, καὶ ἐλευθερωθῆναι.

17. Ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἰ μὲν ἀτέχνης ἐστὶν εἴκοσι νομισμάτων, ἐὰν ᾖ ὑπὲρ τοὺς δώδεκα ἐνιαυτούς· εἰ δὲ ἐλάττων ἐστί, δέκα νομισμάτων· εἰ δὲ τέχνην ἐπίσταται χωρὶς νοταρίου καὶ ἰατροῦ, λ'. νομισμάτων· ἐὰν δὲ νοτάριός ἐστιν ἢ ἰατρὸς, ὁ μὲν νοτάριος ἕως πεντήκοντα νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ἑξήκοντα· ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν δέκα ἐνιαυτῶν χωρὶς τέχνης, πεντήκοντα νομισμάτων· ἐὰν δὲ τέχνην ἴσασιν, ἑβδομήκοντα· ἐὰν δὲ τῶν δέκα ἐνιαυτῶν ἥττονές εἰσιν, λ'. νομισμάτων. Εἰ δὲ οἱ κοινωνοὶ παραιτήσονται τὸ τίμημα λαβεῖν, λέ-

12. Πλειότερον παντὸς πράγματος εὐνοοῦμεν τὴν ἐλευθερίαν.

13. Ὅταν ἡ γνώμη τοῦ ἐλευθερωτοῦ εἶναι ἄδηλος, εὐνοεῖται ἡ ἐλευθερία.

14. Ἡ διάταξις προστάζει περὶ πάσης ἐλευθερίας, εἴτε ἀπὸ στρατιώτην, εἴτε ἀπὸ ἰδιώτην, εἴτε ζῶν ἐλευθερώσῃ τις τὸν κοινὸν δοῦλον, εἴτε θνήσκων, εἴτε τὸ ἥμισυ, εἴτε τὸ τρίτον, εἴτε ὁσονδήποτε μέρος τοῦ δούλου ἔχει, εἴτε δύο, εἴτε πλειότεροι σύντροφοι εἶναι, ὥστε ν' ἀναγκάζωνται νὰ πωλῶσι τὰ ἴδιά των μέρη, ἢ εἰς τὸν σύντροφον τὸν θέλοντα νὰ ἐλευθερώσῃ, ἢ εἰς τὸν κληρονόμον αὐτοῦ. Συγχωρεῖται δὲ καὶ τὸν δοῦλον αὐτὸν ἐλευθερόνων νὰ γράφῃ κληρονόμον διὰ νὰ ἀποδώσῃ εἰς αὐτὸν τὸ ἴδιόν του τίμημα.

15. Εἰ δὲ οἱ σύντροφοι ἀποποιηθῶσι νὰ πωλήσωσι τὸ ἴδιόν των μέρη καὶ νὰ λάβωσι τὸ τίμημα, γίνεται ὁ δοῦλος ἐλεύθερος, χωρὶς μηδὲ τὸ τίμημα νὰ δίδηται.

16. Τὸ δὲ χρημάτιον αὐτοῦ ἔχουσι πάντες οἱ σύντροφοι κατὰ τὸ μέρος τῆς δεσποτείας, ὁ δὲ ἐλευθερωτὴς ἔχει ἐξουσίαν νὰ παραχωρήσῃ τὸ ἴδιόν του μέρος τοῦ χρηματίου πρὸς τὸν ἐλευθερούμενον, τὰ δὲ πατρωνικὰ δικαιώματα ἁρμόζουσιν εἰς μόνον τὸν ἐλευθερωτήν. Ἐὰν δὲ ὁ δοῦλος ὑπόκειται εἰς λογοδοσίαν, ὁ δικαστὴς ὁρίζει χρόνον ἐντὸς τοῦ ὁποίου καὶ τὴν λογοδοσίαν ὁ δοῦλος ὀφείλει νὰ ὑποστῇ καὶ παράσχῃ ὅ,τι χρεωστεῖ, καὶ νὰ ἐλευθερωθῇ.

17. Τὸ δὲ τίμημα τοῦ δούλου ἔστω, εἰ μὲν εἶναι ἄτεχνος, εἴκοσι νομισμάτων, ἐὰν ὑπερβαίνῃ τὰ δώδεκα ἔτη, ἐὰν δὲ εἶναι νεώτερος, δέκα νομισμάτων. Εἰ δὲ εἶναι τεχνίτης ἐκτὸς συμβολαιογράφου καὶ ἰατροῦ, λ'. νομισμάτων· ἐὰν δὲ ἦναι συμβολαιογράφος ἢ ἰατρὸς, ὁ μὲν συμβολαιογράφος ἕως πεντήκοντα νομισμάτων, ὁ δὲ ἰατρὸς ἕως ἑξήκοντα· ἐὰν δὲ οἱ μεγαλείτεροι τῶν δέκα ἐτῶν δοῦλοι ἦναι εὐνοῦχοι ἄτεχνοι, πεντήκοντα νομισμάτων, ἐὰν δὲ ἦναι τεχνῖται, ἑβδομήκοντα· ἐὰν δὲ ἦναι νεώτεροι τῶν δέκα ἐτῶν, λ'. νομίσματα. Εἰ δὲ οἱ σύντροφοι ἀποποιηθῶσι νὰ λάβωσι τὸ τίμημα, λέ-

γοντες ὅτι καὶ αὐτοὶ ἐλευθερῶσαι βούλονται, πάντες ἅμα ἐλευθερώσουσι, τοῦ πεκουλίου παρ' αὐτοῖς μένοντος κατὰ τὸ μέρος τῆς δεσποτείας, τῶν δικαίων τῶν πατρωνικῶν πᾶσι τοῖς ἐλευθεροῦσιν ὁμοίως ἁρμοζόντων.

18. Ἐάν τις τελευτῶν ἀξιώσῃ τὸν κληρονόμον ἕνα ἐκ τῶν παίδων τῆσδε τῆς δούλης ἐλευθερῶσαι, ὃν ἂν ἐπιλέξηται ἐκεῖνος, καὶ τελευτήσῃ μηδένα ἐπιλεξάμενος, πάντες ἅμα γίνονται ἐλεύθεροι. (Β. XLVIII. 13. 14.)

19. Ὁ ἅπαξ δοῦλον ἐλευθερώσας οὐ δύναται τὴν ἐλευθερίαν αὐτοῦ ἀνατρέψαι, εἰ μὴ ἐξ ἀχαριστίας. (Β. XLVIII. 20. 20.)

20. Ὅτι τοῖς διαθεμένοις νέοις καὶ τοὺς ἰδίους οἰκέτας ἐλευθεροῦν ἄδεια δίδοται τελευταίαις βουλήσεσι, σχολάζοντος τοῦ νόμου τοῦ πρώην κωλύοντος.

21. Ἐκ τῶν ἐν δουλείᾳ συναλλαγμάτων μετὰ τὴν ἐλευθερίαν οὐδεὶς κατέχεται· ἐκ δὲ τῶν ἁμαρτημάτων ἐνάγεται, διὰ τὸν κανόνα τὸν λέγοντα, τὰ πταίσματα τῇ κεφαλῇ ἀκολουθεῖ.

22. Ἐπὶ τῶν ἀδιαθέτως τελευτώντων ἐκ πλαγίου συγγενεῖς ἐχόντων καὶ [μὴ] πατδας ἐλευθεροῦνται οἱ δοῦλοι· καὶ οὐ δύναται ὁ κληρονόμος ἢ ἐξ ἀδιαθέτου συγγενὴς ἕλκειν τούτους εἰς δουλείαν· δίδοται καὶ τὸ τρίτον τῆς ὑποστάσεως εἰς ψυχικὸν ἐκ συνηθείας, καὶ τὸ τίμημα δὲ τῶν ἐλευθερωθέντων οἰκετῶν λογίζεται εἰς τὸ τρίτον.

23. Ὁ κλέψας ἄλλοτα πράγματα, καὶ διὰ τῶν τοιούτων κλοπιμαίων πραγμάτων νομισμ. συναγαγὼν, καὶ δοὺς ταῦτα ὑπὲρ τῆς ἑαυτοῦ ἐλευθερίας, ἐλευθεροῦται· ὁ δὲ νομ. κλέψας οὐ δύναται δοῦναι ταῦτα καὶ ἐλευθερωθῆναι, ἀλλὰ δοῦλος μένει καὶ τούτων ἀφαιρουμένων ἀπ' αὐτοῦ. (Β. XLVIII. 5. 4.)

24. Ἡράσθη τις δούλης ἀλλοτρίας καὶ συνεφώνησε πρὸς τὸν δεσπότην αὐτῆς ἄλλο ἀνδράπεδον ὑπὲρ αὐτῆς δοῦναι, ἐὰν ἐλευθερώσῃ αὐτὴν, ἢ αὐτῷ παραχωρήσῃ αὐτὴν εἰς τὸ ἐλευθερωθῆναι παρ' αὐτοῦ· καὶ ὁ μὲν δεσπότης τῆς θεραπαίνης ἢ ἠλευθέρωσεν αὐτὴν, ἢ παρέδωκεν αὐτὴν τῷ ἐρῶντι αὐτῆς· λαβὼν δὲ ἐκεῖνος

γοντες ὅτι καὶ αὐτοὶ θέλουσι νὰ ἐλευθερώσωσι, τὸν ἐλευθερόνουσιν ὅλοι ὁμοῦ, μένοντος εἰς αὐτοὺς τοῦ χρηματίου κατὰ λόγον τῆς δεσποτείας, καὶ τῶν πατρωνικῶν δικαιωμάτων ἁρμοζόντων εἰς ὅλους ὁμοίως τοὺς ἐλευθερωτάς.

18. Ἐάν τις ἀποθνήσκων ἀξιώσῃ ἵνα ὁ κληρονόμος αὐτοῦ ἐλευθερώσῃ ἓν ἀπὸ τὰ παιδία τῆς δούλης ταύτης, ὅποιον αὐτὸς ἐκλέξῃ, καὶ ἀποθάνῃ χωρὶς νὰ ἐκλέξῃ κανὲν, γίνονται ὅλα ὁμοῦ ἐλεύθερα.

19. Ὁ ἅπαξ ἐλευθερώσας δοῦλον δὲν δύναται ν' ἀνατρέψῃ τὴν ἐλευθερίαν του, ἐκτὸς ἀπὸ ἀχαριστίαν.

20. Πρὸς τοὺς διαθέτοντας ἀνηλίκους δίδεται ἄδεια νὰ ἐλευθερόνωσι διὰ τελευταίας βουλήσεως καὶ τοὺς ἰδίους των δούλους, ἀργοῦντος τοῦ νόμου τοῦ πρώην ἐμποδίζοντος.

21. Ἀπὸ τὰ εἰς δουλείαν συναλλάγματα μετὰ τὴν ἐλευθερίαν οὐδεὶς ὑποχρεοῦται· ἀπὸ δὲ τὰ ἐγκλήματα καταδιώκεται, κατὰ τὸν κανόνα τὸν λέγοντα, τὰ πταίσματα ἀκολουθοῦσι τὸ πρόσωπον.

22. Οἱ δοῦλοι τῶν ἀποθνησκόντων ἀδιαθέτως οἵτινες ἔχουσι συγγενεῖς ἐκ πλαγίου καὶ ὄχι τέκνα ἐλευθεροῦνται· καὶ δὲν δύναται ὁ κληρονόμος ἢ ὁ ἐξ ἀδιαθέτου συγγενὴς νὰ τοὺς σύρῃ εἰς δουλείαν· καὶ τὸ τρίτον τῆς περιουσίας δίδεται κατὰ συνήθειαν εἰς ψυχικὸν, καὶ τὸ τίμημα δὲ τῶν ἐλευθερωθέντων δούλων λογίζεται εἰς τὸ τρίτον.

23. Ὁ κλέψας ἀλλότρια πράγματα, καὶ διὰ τῶν τοιούτων κλοπιμαίων πραγμάτων συναθροίσας νομίσματα καὶ δώσας ὑπὲρ τῆς ἐλευθερίας του, ἐλευθεροῦται· ὁ δὲ κλέψας νομίσματα, δὲν δύναται νὰ δώσῃ ταῦτα καὶ νὰ ἐλευθερωθῇ, ἀλλὰ μένει δοῦλος ἀφαιρουμένων καὶ τούτων ἀπ' αὐτοῦ.

24. Ἡράσθη τις ἀλλοτρίαν δούλην καὶ συνεφώνησε πρὸς τὸν δεσπότην αὐτῆς νὰ δώσῃ ἀντ' αὐτῆς ἄλλον δοῦλον, ἐὰν τὴν ἐλευθερώσῃ, ἢ τὴν παραχωρήσῃ εἰς αὐτὸν πρὸς ἐλευθέρωσιν· καὶ ὁ μὲν δεσπότης τῆς δούλης ἢ ἠλευθέρωσεν αὐτὴν, ἢ τὴν παρέδωκεν

τὴν θεράπαιναν καὶ συναφθεὶς αὐτῇ παῖδας ἔσχεν ἐξ αὐτῆς, οὐκ ἔδωκε δὲ εὐγνωμόνως τὸ ἀντὶ αὐτῆς ἀνδράποδον· ὅθεν προσῆλθεν ὁ τῆς θεραπαίνης αὐτῆς ποτε δεσπότης, καὶ ἀντιγέγραπται πρὸς αὐτὸν ἡ διάταξις λέγουσα. (Β. Χ. 3. 44.)

25. Ὁπότε θεμάτιζεις μεταξὺ σοῦ καὶ ἐκείνου, ὅντινα εἰς συνάφειαν τὴν θεράπαιναν τὴν σὴν συζεῦξαι ἑαυτῷ μνημονεύεις, ἀρέσαι καὶ συμφωνῆσαι, ἵνα σοι ὑπὲρ αὐτῆς δώσῃ ἀνδράποδον· ὀφείλεις εἰδέναι ὅτι ἐὰν ἠλευθέρωσας, ἢ ἐκείνῳ παρέδωκας καὶ αὐτὸς ἠλευθέρωσεν, ἀνακλητέας τῆς ἐλευθερίας ἐξουσίαν οὐκ ἔχεις· ἀλλὰ μόνον, εἰ μήπω παρῆλθεν ὁ ὡρισμένος τῆς περὶ δόλου ἀγωγῆς χρόνος τοῦτέστιν ἡ διετία, καὶ τὴν πίστιν τοῦ συμφωνηθέντος ῥήγνυσιν, ἐπιζητῆσαι ὀφείλεις τὴν περὶ δόλου δοθῆναί σοι ἀγωγήν. Ἐὰν δὲ παρὰ σοὶ ἡ δεσποτεία τῆς θεραπαίνης ταύτης ἀπέμεινε, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας, μετὰ τῶν ἐξ αὐτῆς γεννηθέντων δύνασαι ἀναλαβεῖν αὐτὴν, εἰ μή τις κινηθείη περὶ τῆς τύχης αὐτῆς ζήτησις. (Β. Χ. 3. 44.)

26. Ἐὰν ἐξέδωκεν ὡς ἐλευθέραν τὴν ἑαυτοῦ θεράπαιναν ὁ δεσπότης, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων γινομένων συμβολαίων, ἢ μὴ γινομένων μὲν, τῆς δὲ αὐτοῦ γνώμης τὸ πρᾶγμα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον, τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν, εἴτε τῷ ἀνδρὶ, εἴτε τῇ γυναικί· τοιούτου τινὸς παρὰ τοῦ δεσπότου γεγονότος θεσπίζομεν ἀναρπάζεσθαί τε τὸν τοιοῦτον ἢ τὴν τοιαύτην εἰς εὐγένειαν καὶ τὸ πρᾶγμα ὡς ἐπ' ἐλευθέροις τε καὶ εὐγενέσι κρίνεσθαι.

27. Εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γινόμενον καὶ ἐξεπίτηδες ἀποκρύπτοι, ἵνα ὕστερον πρᾶγμα ῥάψειε τῶν συναφθέντων θατέρῳ, τιμωρούμεθα τὴν τοιαύτην, εἴγε σαφῶς ἀποδειχθείη, κακουργίαν, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν παρὰ τῶν τοιούτων πονηρῶς βεβουλευμένων, καὶ ἔστω πάλιν τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνήνεσεν ὁ κεκτημένος τὴν ἀρχήν· καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας τὸν ἐραστήν της. Λαβὼν δὲ οὗτος τὴν δούλην καὶ νυμφευθεὶς αὐτὴν ἐτεκνοποίησεν ἐξ αὐτῆς, δὲν ἀπέδωκεν ὅμως εὐγνωμόνως τὸν ἀντ' αὐτῆς δοῦλον· ὅθεν ἐνεφανίσθη ὁ ποτὲ δεσπότης τῆς δούλης, καὶ ἐξεδόθη πρὸς αὐτὸν ἡ ἐξῆς διάταξις.

25. Ὁπότε ἀναφέρεις ὅτι κατ' ἀρέσκειαν συνεφώνησες μὲ τὸν νυμφευθέντα τὴν δούλην σου, διὰ νὰ σὲ δώσῃ ἀντ' αὐτῆς δοῦλον, ὀφείλεις νὰ εἰξεύρῃς, ὅτι ἐὰν ἠλευθέρωσας ἢ εἰς αὐτὸν παρέδωκας καὶ τὴν ἠλευθέρωσε, δὲν δύνασαι ν' ἀνακαλέσῃς τὴν ἐλευθερίαν· ἀλλὰ μόνον, ἐὰν δὲν παρῆλθεν ἀκόμη ὁ ὡρισμένος τῆς περὶ δούλου ἀγωγῆς χρόνος, τουτέστιν ἡ διετία, καὶ ἀθετῇ τὴν πίστιν τῶν συμφωνηθέντων, ὀφείλεις νὰ ἐπιζητήσῃς νὰ σοὶ δοθῇ ἡ περὶ δούλου ἀγωγή. Ἐὰν δὲ ἡ δεσποτεία τῆς δούλης ταύτης ἔμεινεν εἰς σὲ, ἐμφανιζόμενος εἰς τὸν δικαστὴν τῆς ἐπαρχίας, δύνασαι νὰ τὴν ἀναλάβῃς μετὰ τῶν ἐξ αὐτῆς γεννηθέντων, ἐκτὸς ἐὰν κινηθῇ ζήτησίς τις περὶ τῆς τύχης αὐτῆς.

26. Ἐὰν ὁ δεσπότης ὑπάνδρευσε τὴν δούλην του ὡς ἐλευθέραν, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας εἰς τὸν διδόντα ἔλαβεν αὐτὴν, ἴσως γινομένου καὶ προικοσυμφώνου, ἢ μὴ γινομένου μὲν, αὐτοῦ δὲ διανοουμένου τὸ τοιοῦτο, δὲν εἶναι δίκαιον νὰ μὴ συνίσταται ὁ τοιοῦτος γάμος, ἀλλὰ ἀκολουθεῖ εἴτε τὸν ἄνδρα εἴτε τὴν γυναῖκα σιωπηρὰ ἐλευθερία· ἐὰν ὁ δεσπότης ἔπραξέ τι τοιοῦτο διατάσσομεν ὁ δοῦλος ἢ ἡ δούλη νὰ γίνεται εὐγενὴς καὶ τὸ πρᾶγμα νὰ λογίζηται ὡς μεταξὺ ἐλευθέρων καὶ εὐγενῶν.

27. Εἰ δὲ αὐτὸς μὲν ὁ δεσπότης τοῦ ἑνὸς τῶν προσώπων δὲν συνήρμοσε τὸν γάμον, γνωρίζει ὅμως τὸ γεγονὸς καὶ σιωπᾷ ἐξεπίτηδες, διὰ νὰ βλάψῃ ὕστερον τὸν ἕνα τῶν συζύγων, τὴν τοιαύτην κακουργίαν, ἐὰν ἀποδειχθῇ σαφῶς, τιμωροῦμεν καὶ ἀφαιροῦμεν τὴν δεσποτείαν ἀπὸ τοὺς τοιούτους κακοβούλους, καὶ ἔστω πάλιν νόμιμος γάμος, ὡς νὰ συγκατάνευσεν ὁ δεσπότης ἀπ' ἀρχῆς· καὶ ὁ μὲν ἐκπίπτει ἀπὸ τὴν δεσποτείαν, τὸ δὲ δοῦλον πρά-

τείας, αὖθις δὲ εἰς εὐγένειαν ἀναρπαζέσθω τὸ δοῦλον πρόσωπον· τοιούτου συμβαίνοντος ἀποτελέσματος, εἴπερ συνήνεσεν, ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος· πρόδηλον οὖν, ὡς καὶ οἱ παῖδες ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε καὶ εὐγενεῖς ἔσονται.

28. Ἡ διάταξις λέγει, ὅτι αὐτῷ τῷ γραφῆναι κληρονόμος ὁ δοῦλος, εἰ καὶ μὴ προσετέθη αὐτῷ ἡ ἐλευθερία, σιωπηρῶς αὐτὴν ἔχει, εἰ μέντοι ληγάτον ἢ φιδεικόμμισον δίχα ἐλευθερίας καταλειφθῇ, οὐ δοκεῖ σιωπηρῶς μετὰ τοῦ ληγάτου καὶ ἡ ἐλευθερία δίδοσθαι τῷ οἰκέτῃ. (Β. XXXV. 13. 39.)

29. Ἐάν τις τὸν ἴδιον οἰκέτην εἰς θέσιν λαβεῖν βουληθῇ, ἡ μὲν θέσις οὐκ ἰσχύει, ἐλευθερία δὲ σιωπηρὰ τῷ οἰκέτῃ δίδοται· ἐντεῦθεν καὶ ὁ βασιλεὺς Ἰουστινιανὸς ὁρμηθεὶς εἰσελθόντος τινὸς ἐν δικαστηρίῳ καὶ εἰπόντος ἐν ὑπομνήσει περὶ οἰκέτου, ὅτι οὗτος υἱός μού ἐστιν, ἐθέσπισεν ἐκ τῶν τοιούτων ῥημάτων τὸν μὲν οἰκέτην υἱὸν μὴ γίνεσθαι, παύεσθαι δὲ τοῦ εἶναι δοῦλον.

30. Θεσπίζομεν ὅσοι ἐν ἐκκλησίαις, ἢ ἐν ῥύμαις, ἢ ἄλλοις τόποις ἀποῤῥιφέντες δεχθῶσι, τούτους πᾶσι τρόποις ἐλευθέρους εἶναι παρακελευόμεθα· καὶ εἰ ἀκριβής τις ἀπόδειξις ὑπάρχει τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον τῆ αὐτοῦ διαφέρον δεσποτείᾳ· καὶ τοὺς νοσοῦντας οἰκέτας καὶ παρὰ τῶν δεσποτῶν καταλειφθέντας, καὶ ὡς τῆς αὐτῶν ὑγείας ἀπελπισθείσης ἐκ τῶν κεκλημένων ἐπιμελείας μὴ ἀξιουμένους εἰς ἐλευθερίαν ἁρπάζεσθαι.

31. Ὁ αἰχμάλωτος πέντε ἔτη δουλεύσας τῷ ἀναῤῥυσαμένῳ ἐλευθεροῦται. (Β. XXXIV. 2. 18.)

32. Δοῦλος στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται. (Β. LVII. 43. 44.)

33. Ὁ μηνύων τὸν φόνον τοῦ ἰδίου δεσπότου τὴν ἐλευθερίαν ἐχέτω ἔπαθλον. (R. XLVIII. 18. 1.)

34. Ὁ ἀπρονόητος δοῦλος ἐλευθεροῦται· Ὁ ἀπρονόητος δέ ἐστιν ἢ ὁ μηδένα τὸν προνοούμενον ἔχων αὐτοῦ ἢ ὁ μὴ δυνάμενος ἑαυτοῦ προνοεῖσθαι· ὁποῖός ἐστιν ὁ παράφρων καὶ ὁ μαινόμενος.

35. Ἐάν τις εὐγενῆ γυναῖκα παρὰ τῶν πολεμίων ἀγοράσῃ καὶ

σωπον ἐλευθεροῦται. Τὸ τοιοῦτον γίνεται ἐὰν ὁ δεσπότης συνήνεσεν ἢ ἐκακούργησε· φανερὸν λοιπὸν ὅτι καὶ τὰ τέκνα τῶν τοιούτων εἶναι ἐλεύθερα καὶ εὐγενῆ.

28. Ἡ διάταξις λέγει ὅτι δι' αὐτῆς τῆς ἐγγραφῆς τοῦ δούλου κληρονόμου, καὶ ἐὰν δὲν τὸν προσετέθη ἡ ἐλευθερία, τὴν ἔχει σιωπηρῶς, εἰ δὲ χωρὶς ἐλευθερίαν ἀφεθῇ κληροδότημα ἢ καταπίστευμα, δὲν θεωρεῖται ὅτι μετὰ τοῦ κληροδοτήματος δίδεται σιωπηρῶς εἰς τὸν δοῦλον καὶ ἡ ἐλευθερία.

29. Ἐάν τις θελήσῃ νὰ υἱοθετήσῃ τὸν δοῦλόν του, ἡ μὲν υἱοθεσία δὲν ἰσχύει, δίδεται ὅμως σιωπηρὰ ἐλευθερία εἰς τὸν δοῦλον. Ἐντεῦθεν καὶ ὁ βασιλεὺς Ἰουστινιανὸς ὁρμηθεὶς ὅτε ἐνεφανίσθη τις εἰς δικαστήριον καὶ εἶπεν ἐν ὑπομνήσει περὶ δούλου, ὅτι οὗτος εἶναι υἱός μου, ἐκ τῶν τοιούτων λόγων διέταξεν ὁ μὲν δοῦλος νὰ μὴ γείνῃ υἱὸς, παύει δὲ τοῦ νὰ ἦναι δοῦλος.

30. Διατάσσομεν ὅσοι ἀποδειχθῶσιν ὅτι ἐῤῥίφθησαν εἰς ἐκκλησίας ἢ εἰς δρόμους ἢ εἰς ἄλλους τόπους, οὗτοι ἐξάπαντος νὰ ἦναι ἐλεύθεροι· καὶ ἐὰν ὁ ἐνάγων ἀποδεικνύῃ ἀκριβῶς ὅτι τὸ τοιοῦτον πρόσωπον ἀνήκει εἰς τὴν δεσποτείαν του· καὶ οἱ ἀσθενοῦντες δοῦλοι καὶ ἐγκαταλειφθέντες παρὰ τῶν δεσποτῶν των καὶ ὡς ἀπελπισθείσης τῆς ὑγείας των μὴ ἀξιούμενοι ἐπιμέλειάν τινα, ἐλευθεροῦνται.

31. Ὁ αἰχμάλωτος δουλεύσας πέντε ἔτη εἰς τὸν λυτρωτήν του ἐλευθεροῦται.

32. Δοῦλος ἐκστρατεύων ἐν γνώσει τοῦ δεσπότου του ἐλευθεροῦται.

33. Ὁ μηνύων τὸν φόνον τοῦ δεσπότου του λαμβάνει βραβεῖον τὴν ἐλευθερίαν.

34. Ὁ ἀπρονόητος δοῦλος ἐλευθεροῦται. Ἀπρονόητος δὲ εἶναι ἢ ὁ μὴ ἔχων κανένα νὰ προνοῇ περὶ αὐτοῦ ἢ ὁ μὴ δυνάμενος νὰ προνοῇ περὶ ἑαυτοῦ· ὁποῖος εἶναι ὁ παράφρων καὶ ὁ τρελός.

35. Ἐάν τις ἀγοράσῃ ἀπὸ πολεμίους εὐγενῆ γυναῖκα καὶ συν-

συναφθῇ αὐτῇ ἐπὶ παιδοποιΐᾳ, παραυτίκα τὸ ἐν αὐτῇ δίκαιον τοῦ ἐνεχύρου λύει καὶ εὐγενεῖς τίκτει. (Β. XXIV 2. 11.)

36. Ἡ ἀπὸ τῶν πολεμίων ἀγορασθεῖσα οὐκ ἐστι δούλη, ἀλλ' ἐνεχύρου λόγῳ κρατεῖται. (Β. XXXIV. 2. 1).

37. Ὁ ἀγορασθεὶς αἰχμάλωτος, εἰ μὲν εὔπορος εἴη, ἐκπληρούτω τὰς ὑπὲρ αὐτοῦ τιμάς· ἀπορῶν δὲ τριετίαν δουλευέτῳ τῷ ἀγοράσαντι καὶ οὕτως ἀπολυέσθω.

38. Κελεύομεν, εἴ τις παρ' ἡμῖν εὐνουχισθῇ δοῦλος, αὐτίκα τούτῳ τὴν ἐλευθερίαν δίδοσθαι, κἂν διὰ νόσον εὐνουχισθῇ. (Β. LX. 51. 64.)

39. Ἴσμεν ἤδη τινὰ τῶν παλαιῶν διάταξιν παρακελευομένην, τὰς τῶν τελευτώντων ἀδιαθέτως περιουσίας, οἷς κατὰ νόμους οὐχ ὕπεστιν ἐξ ἀδιαθέτου κληρονόμος, ἐπὶ τὸ θεῖον ἡμῶν εἰσκομίζεσθαι ταμεῖον, ἐν ᾧ πολλάκις καὶ οἰκετικὰ πρόσωπα συναπενήνεκται· ὡς ἐντεῦθεν ἀδιάλυτον τὸν τῆς δουλείας ζυγὸν αὐτοῖς γνωρίζεσθαι. Διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ἔλεῳ τε καὶ συμπαθεῖ ὄμματι ἀπὸ τοῦ δεῦρο παρακελεύεται, πᾶν οἰκετικὸν πρόσωπον ἀνῆκον ὡς ἐξ ἀδιαθέτου τῷ θείῳ ἡμῶν ταμείῳ, ἐν πάσῃ τῇ ἡμετέρᾳ πολιτείᾳ πρὸς ἐλευθερίαν ἀφίεσθαί τε καὶ ἀναγκάζεσθαι καὶ τὰ τῶν Ῥωμαίων κατὰ νόμους αὐτοὺς διαπράττειν ἐν ἅπασι· κἂν ἐν μόνοις οἰκετικοῖς προσώποις ἡ οὐσία πᾶσα καθειστήκει· ὡς εἴ τις γε τὴν τοιαύτην νομοθεσίαν παραβλέψειε, μὴ τύχοι ἐλευθερίας τῶν ἁμαρτημάτων αὐτοῦ.

ἀφθῇ μὲ αὐτὴν πρὸς τεκνοποίαν, εὐθὺς λύει τὸ εἰς αὐτὴν δικαίωμα τοῦ ἐνεχύρου καὶ γεννᾷ εὐγενεῖς.

36. Ἡ ἀγορασθεῖσα ἀπὸ τοὺς πολεμίους δὲν εἶναι δούλη, ἀλλὰ κρατεῖται λόγῳ ἐνεχύρου.

37. Ὁ ἀγορασθεὶς αἰχμάλωτος, ἐὰν μὲν ἦναι εὔπορος, καταβάλλει τὸ ὑπὲρ αὐτοῦ τίμημα· ἐὰν δὲ ἦναι ἄπορος, δουλεύει τρία ἔτη εἰς τὸν ἀγοραστὴν καὶ οὕτως ἀπολύεται.

38. Διατάσσομεν, ἐὰν δοῦλός τις εὐνουχισθῇ, εὐθὺς λαμβάνει τὴν ἐλευθερίαν του, καὶ ἐὰν διὰ νόσον εὐνουχισθῇ.

39. Κατά τινα παλαιὰν διάταξιν αἱ περιουσίαι τῶν ἀποθνησκόντων ἀδιαθέτως καὶ μὴ ἐχόντων κατὰ νόμους ἐξ ἀδιαθέτου κληρονόμον, προσκυροῦνται εἰς τὸ βασιλικὸν ταμεῖον, εἰς τὸ ὁποῖον πολλάκις καὶ δουλικὰ πρόσωπα συνεισῆχθησαν, καὶ ἐντεῦθεν ὁ ζυγὸς τῆς δουλείας καθίσταται εἰς αὐτοὺς ἀδιάλυτος. Διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ἀπὸ εὐμένειαν καὶ συμπάθειαν διατάττει ἀπὸ σήμερον, πᾶν δουλικὸν πρόσωπον ἀνῆκον ὡς ἐξ ἀδιαθέτου εἰς τὸ βασιλικὸν ταμεῖον, ν' ἀφίνηται ἐλεύθερον καθ' ὅλον τὸ ἡμέτερον κράτος καὶ ἀναγκαίως νὰ πολιτεύηται εἰς ὅλα κατὰ νόμους ὡς Ῥωμαῖος· καὶ ἐὰν εἰς δουλικὰ μόνα πρόσωπα συνίσταται ἡ ὅλη περιουσία· ὅστις δὲ τολμήσῃ νὰ παραβλέψῃ τὴν τοιαύτην νομοθεσίαν, νὰ μὴ τύχῃ ἄφεσιν τῶν ἁμαρτημάτων του.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΕΡΙ ΔΙΚΩΝ ΔΙΑΦΟΡΩΝ ΚΑΙ ΚΑΙΝΟΤΟΜΙΩΝ.

ΤΙΤΛ. Α'. — Περὶ Νομῆς καὶ Δεσποτείας.

1. Νομή ἐστι φυσικὴ κατοχὴ καὶ προηγεῖται δεσποτείας. Καὶ ἡ δεσποτεία ἐξ αὐτῆς ἔλαβε τὴν ἀρχήν· ὅτι δὲ ἡ νομὴ πρώτη παρὰ τὴν δεσποτείαν ἐστὶ καὶ ὅτι τὸ δεσπόζειν τινὸς ἐκ τῆς νομῆς γίνεται, δῆλον ἐντεῦθεν· ὅσα ἐκ τοῦ πολέμου λαμβάνομεν, ὅσα ἐν τῇ χέρσῳ εὑρίσκομεν, ὅσους τόπους ἀοικήτους οἰκήσομεν, ὅσας νήσους παρὰ μηδενὸς δεσποζομένας κατάσχομεν, ὅσα τοιαῦτά τινα ποιήσομεν, τὸν πρώτως δραξάμενον τῆς νομῆς τῶν πραγμάτων, ὡς νεμηθῇ, δεσπότην ἡγούμεθα. (B. L. 2. 61.)

2. Ἡ νομὴ γίνεται πολλάκις καὶ κατὰ μίσθωσιν καὶ καλεῖται μισθωτικὴ ἡ τοιαύτη νομή· γίνεται δὲ καὶ κατὰ τελείαν δεσποτείαν, καὶ τότε λέγεται κατὰ ψυχὴν καὶ ψυχῇ νομὴ, καὶ ὁ νεμόμενος τὸ πρᾶγμα ψυχῇ νεμόμενος. Καὶ ὁ μὲν ψυχῇ νεμόμενος πολλάκις διὰ πολυχρονίου νομῆς γίνεται δεσπότης τοῦ πράγματος· ὁ δὲ μισθωτικῶς νεμόμενος οὐδέποτε διὰ πολυχρονίου νομῆς δύναται δεσπόσαι τοῦ πράγματος. Νομή ἐστι ψυχῇ δεσπόζοντος κατοχή. (B. XV. 4. 3. Σχόλ.)

3. Νέμεταί τις τὰ σωματικά. Δράττεται δὲ νομῆς ψυχῇ καὶ σώματι, οὐ μὴν θατέρῳ μόνῳ. Ἀρκεῖ δὲ πρὸς τὴν τοῦ ὅλου ἀγροῦ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΥΠΟΘΕΣΕΩΝ ΚΑΙ ΚΑΙΝΟΤΟΜΙΩΝ.

ΤΙΤΛ. Α'. — Περὶ νομῆς καὶ κυριότητος.

1. Νομὴ εἶναι φυσικὴ κατοχὴ καὶ προηγεῖται τῆς κυριότητος· καὶ ἡ κυριότης ἀπὸ αὐτὴν ἔλαβε τὴν ἀρχήν. Ὅτι δὲ ἡ νομὴ εἶναι ἀρχαιοτέρα ἀπὸ τὴν κυριότητα καὶ ὅτι ἡ κυριότης προέρχεται ἀπὸ τὴν νομὴν, γίνεται φανερὸν ἀπὸ τὰ ἑξῆς· ὅσα λαμβάνομεν ἀπὸ τὸν πόλεμον, ὅσα εὑρίσκομεν εἰς τὴν ξηράν, ὅσους ἀκατοικήτους τόπους κατοικήσωμεν, ὅσας νήσους ἀκυριεύτους κατάσχωμεν, καὶ ὅσα τοιαῦτα κάμωμεν, τῶν πραγμάτων τούτων κύριος ὑπολαμβάνεται ὁ πρῶτος ἐπιλαβὼν τὴν νομὴν, διὰ νὰ τὰ νέμηται.

2. Ἡ νομὴ γίνεται πολλάκις καὶ κατὰ μίσθωσιν καὶ ἡ τοιαύτη νομὴ λέγεται μισθωτή· γίνεται δὲ καὶ κατὰ τελείαν κυριότητα, καὶ τότε λέγεται κατὰ προαίρεσιν ἢ ψυχῇ νομὴ, καὶ ὁ νεμόμενος τὸ πρᾶγμα κατὰ προαίρεσιν νομεύς. Καὶ ὁ μὲν κατὰ προαίρεσιν νομεὺς διὰ πολυχρονίου νομῆς γίνεται πολλάκις κύριος τοῦ πράγματος· ὁ δὲ κατὰ μίσθωσιν νεμόμενος διὰ πολυχρονίου νομῆς δὲν δύναταί ποτε νὰ κυριεύσῃ τὸ πρᾶγμα. Νομὴ εἶναι κατὰ προαίρεσιν κυριεύοντος κατοχή.

3. Νέμεταί τις τὰ σωματικά· ἐπιλαμβάνει δὲ τὴν νομὴν προαιρετικῶς καὶ σωματικῶς, καὶ ὄχι κατὰ τὸν ἕνα μόνον τρόπον·

νομὴν καὶ τὸ εἰς μέρος ἐπιδῆναι. Διαθέσει ἀπόλλυται νομὴ ἅμα θελήσει τις ἀποστῆναι τοῦ ἀγροῦ· ψυχῇ γὰρ μόνῃ ἀπόλλυμεν, οὐ μὴν κτώμεθα νομήν· εἰ δὲ τὸν ἀγρόν, ὃν ἐγὼ ψυχῇ νέμομαι, σὺ κρατεῖς, ἔτι ἐγὼ νέμομαι (*). (B. L. 2. 2.)

4. Ψυχῇ κτήσασθαι νομὴν οὐ δυνάμεθα, τὴν δὲ προσκτηθεῖσαν νομὴν δυνάμεθα ψυχῇ φυλάττειν. (B. L. 2. 55.)

5. Ἐάν τις ἀναισχύντως ἄρξηται νέμεσθαι τὸ ἀλλότριον, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. (B. L. 2. 57.)

6. Ὁ τὸν ἀλλότριον οἶκον κακῇ πίστει νεμηθεὶς ἀποδίδωσι μὲν αὐτὸν μετὰ τῶν στεγανομίων καὶ παντὸς ἑτέρου· τὰ δὲ δαπανήματα οὐ λαμβάνει, εἰ μὴ ἄρα ἀναγκαῖά εἰσι· τὰ δὲ ἐπωφελῆ δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι. (B. XV. 1. 85.)

7. Ἡ χρονία νομὴ συμβάλλεται τοῖς κακῇ πίστει νεμηθεῖσιν. (B. L. 11. 2.)

8. Ὁ καλῇ πίστει περὶ ὧν ἐδαπάνησεν, ἀγωγὴν οὐκ ἔχει,

(*) Ὅσα πράγματα ἀποκτῶμεν, καὶ νεμόμενοι τὰ κυριεύομεν, ὁ νόμος διατάττει νὰ ἐπιλαμβάνωμεν τὴν νομὴν αὐτῶν οὕτως, ὥστε νὰ τὰ παραλαμβάνωμεν σωματικῶς, καὶ κατὰ προαίρεσιν νὰ ἐπιγινώσκωμεν, ὅτε τὰ λαμβάνομεν ὡς ἰδικά μας καὶ τὰ κατέχομεν· διότι ἐὰν ἡ σωματικῶς μόνον ἢ κατὰ μόνην προαίρεσιν παραλάβω πρᾶγμα ἀπό τινα, ὅστις ἴσως μὲ τὸ ὥρεῖ, δὲν δύναμαι νὰ ἀποκτήσω τὴν νομὴν τούτου, καὶ νὰ τὸ κυριεύσω. Καὶ τί, ἂν τὶς με ἐδώρησε τὸν ἰδιόν του ἀγρόν, καὶ δὲν μὲ τὸν παρέδωσεν, ἀλλ' ἐκεῖνος μὲν τὸν ἐνέμετο σωματικῶς, ἐγὼ δὲ μὲ ψιλὸν μόνον λογισμὸν ἐνόμιζον ὅτι ἔχω τοῦτον καὶ τὸν νέμομαι; Δὲν δύναμαι λοιπὸν νὰ ἀποκτήσω ποτὲ τὴν νομὴν αὐτοῦ καὶ νὰ τὸν κυριεύσω, διότι τὸν ἐπέλαβον κατὰ προαίρεσιν μόνην καὶ ὄχι σωματικῶς. Καὶ τὸ ἀνάπαλιν, ἐὰν με δίδῃ τις πρᾶγμα κατὰ δωρεὰν λόγ. χ, ἐγὼ δὲ τὸ παραλαμβάνω ἀπὸ αὐτὸν σωματικῶς, νομίζων ὅτι μὲ δίδεται ὡς παρακαταθήκη, δὲν δύναμαι διὰ τοῦ νομίμου χρόνου νὰ τὸ κυριεύσω· διότι ὅταν ἐλάμβανον αὐτὸ σωματικῶς, δὲν τὸ εἶχον κατὰ προαίρεσιν, διὰ νὰ ἀποκτήσω τὴν νομὴν αὐτοῦ εἰς ὄνομά μου· ἀλλὰ παρελάμβανον μὲν τὸ πρᾶγμα ἀπὸ τὸν δίδοντα, κατὰ

ἀρκεῖ δὲ πρὸς τὴν νομὴν τοῦ ὅλου ἀγροῦ καὶ νὰ ἐπιβῇ τις εἰς μέρος. Ἡ νομὴ χάνεται κατὰ προαίρεσιν, καθὼς θελήσῃ τις νὰ ἀποχωρήσῃ ἀπὸ τὸν ἀγρόν· διότι κατὰ προαίρεσιν μόνην χάνομεν τὴν νομήν, ἀλλὰ δὲν τὴν ἀποκτῶμεν. Εἰ δὲ ὅποιον ἀγρὸν κατὰ προαίρεσιν νέμομαι ἐγὼ, κρατεῖς σὺ, ἐγὼ τὸν νέμομαι ἀκόμη.

4. Κατὰ προαίρεσιν νὰ ἀποκτήσωμεν νομὴν δὲν δυνάμεθα, τὴν δὲ ἀποκτηθεῖσαν ἤδη δυνάμεθα κατὰ προαίρεσιν νὰ φυλάττωμεν.

5. Ἐάν τις αὐθαδῶς ἀρχίσῃ νὰ νέμηται τὰ ἀλλότρια πράγματα, διὰ τῆς πολυχρονίου νομῆς δὲν δύναται νὰ τὰ κυριεύσῃ.

6. Ὁ κατὰ κακὴν πίστιν νεμηθεὶς τὴν ἀλλοτρίαν οἰκίαν τὴν ἀποδίδει μὲ τὸ ἐνοίκιον καὶ πᾶν ἄλλο· καὶ δὲν λαμβάνει τὰ δι' αὐτὴν ἔξοδα, ἐκτὸς ἂν ἦσαν ἀναγκαῖα· τὰ δὲ ἐπωφελῆ δύναται νὰ ἀφαιρέσῃ, ἐὰν δὲν βλάπτῃ τὸ ἀρχαῖον σχῆμα τῆς οἰκίας.

7. Ἡ πολυχρόνιος νομὴ συμβάλλει τοὺς νεμηθέντας κατὰ καλὴν πίστιν.

8. Ὁ καλῆς πίστεως νομεὺς ἀγωγὴν περὶ τῶν ἐξόδων του δὲν

δὲ προαίρεσιν ἐνόμιζον, ὅτι κύριος τοῦ διδομένου εἶναι ἐκεῖνος, καὶ ἐγὼ μόνον φύλαξ τούτου. Διὰ νὰ δυνάμεθα λοιπὸν νὰ ἀποκτῶμεν πράγματα ἀπαιτεῖται νὰ συντρέχωσιν ἐξαρχῆς δύο, ἡ σωματικὴ αὐτῶν καὶ ἡ προαιρετικὴ κατάσχεσις ὡς προελέχθη. Καὶ τὴν μὲν κτῆσιν τῶν πραγμάτων οὕτως ὀφείλομεν νὰ ἔχωμεν· τὴν δὲ ἀπώλειαν αὐτῶν ὁ νόμος διατυπόνει εὐκολώτερον καὶ ἁπλούστερον· ἀφότου λόγ. χ. κατὰ τὸν νόμον ἀποκτήσῃ τις ἰσχυρῶς νομήν τινος πράγματος σωματικῶς καὶ προαιρετικῶς, δύναται νὰ φυλάττῃ τοῦτο καὶ κατὰ μόνην προαίρεσιν· διότι τὰ χειμαδιὰ καὶ τοὺς θερινοὺς βοσκοτόπους καὶ πρὸς καιρόν τινα ἐὰν τοὺς ἀφήσωμεν καὶ ἀποχωρήσωμεν, τοὺς νεμόμεθα μὲ μόνον τὸν λογισμόν. Καὶ ἐὰν θελήσωμεν νὰ ἀποχωρήσωμεν ἀπὸ αὐτοὺς καὶ νὰ τοὺς παραχωρήσωμεν εἴς τινα, καὶ μὲ μόνον τὸν λογισμὸν παύομεν εὐθὺς νὰ ἔχωμεν τὴν νομὴν αὐτῶν, καὶ ὁ παραλαβὼν αὐτοὺς ἀπὸ ἡμᾶς νὰ τοὺς ἔχῃ, τοὺς ἀποκτᾷ ἀσφαλῶς, καὶ σωματικῶς ἂν δὲν τοὺς παρεδώσαμεν εἰς αὐτόν. Καλῶς λοιπὸν πρόκειται τὸ σχεδὸν εἰς τὴν παροῦσαν διάταξιν· διότι καθ' ὅντινα τρόπον, ὡς προελέχθη, δυνάμεθα νὰ ἀποκτήσωμεν νομήν τινος πράγματος, κατὰ τὸν αὐτὸν ἀναμφιβόλως δὲν χάνομεν αὐτήν.

ἀλλὰ παρακατάσχεσιν, ἐφ' οἷς ὁ ἀγρὸς κρείττων ἐγένετο· ψηφιζομένων τῶν πρὸ τῆς προκατάξεως ληφθέντων καρπῶν. (Β. XV. 1. 48).

9. Βούλεται ἡ διάταξις, ὅτε τοῖς ἀγαθῇ πίστει νεμηθεῖσι παρέχεταί τι τίμημα βελτιώσεως, εἰ μὲν ὀλίγα τις ἀναλωκὼς πολλοῦ τιμώμενον, ἀμπελῶνα ἢ ἐλαιῶνα ἤ τι ἄλλο κατέστησε, μόνον δίδοσθαι τὸ ἀνάλωμα· ὅτε δέ τις πολλὰ δεδαπανηκὼς ὀλίγα ἐβελτίωσε, τοῦ βελτιωθέντος βραχέος μόνον τὸ τίμημα δίδοσθαι· ἐγκαλεῖται γὰρ ἄγνοιαν ὁ καμὼν ὡς οὐ λελογισμένως καταναλώσας χρυσίον, ἐν γῇ τυχὸν λιτῇ καὶ ἀπόρῳ καὶ μὴ δυναμένῃ καλῶς φυλάττειν τὰ πιστευόμενα ταύτῃ. (Β. XV. 1. 38.)

10. Ὥσπερ τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ ἔριον, οὕτω καὶ ἡ γονὴ τῶν θρεμμάτων καρπὸς αὐτῶν ἐστι, καὶ δεσπόζει αὐτῶν ὁ καλῇ πίστει νομεὺς καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων· ὁ δὲ τοκετὸς τῆς δούλης οὐκ αὐτοῖς, ἀλλὰ τῷ δεσπότῃ διαφέρει· ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι καρπός, ὡς τῆς φύσεως δι' αὐτὸν εὐτρεπισάσης τοὺς καρποὺς. (Β. XXIII. 3. 28.)

11. Ὁ καλῇ πίστει νομεὺς τοὺς καρποὺς λαμβάνων δεσπόζει αὐτῶν, κἂν ἄλλος αὐτοὺς ἔσπειρεν· ἐοίκασι γὰρ τοῖς ἐκ τῶν ὑπηρεσιῶν τοῦ δούλου προσποριζομένοις, καὶ οἱ ὁπωσοῦν ληφθέντες καρποὶ τοῦ καλῇ πίστει εἰσίν. (Β. XXIII. 3. 25.)

12. Ἐὰν μετὰ τὸ σπεῖραι καὶ μὴ λαβεῖν τοὺς καρποὺς γνῷ ἀλλότριον τὸν ἀγρὸν ὁ καλῇ πίστει νομεὺς τῇ λήψει, δεσπόζει αὐτῶν· ὅσον γὰρ ἦκεν εἰς τὴν λῆψιν τῶν καρπῶν, ἕως οὗ ἐνικηθῇ ὁ ἀγρός, καλῇ πίστει ἀγοραστής ἐστιν. (Β. XXXIII. 3. 25).

13. Ὁ κακῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν καρποὺς, καὶ δίδωσι τοὺς μετὰ προκάταρξιν· ἐπὶ δὲ τῆς ἀπαιτήσεως τῆς κληρονομίας καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται.

14. Ὅταν τὸ ἀλλότριον πρᾶγμα κακῇ πείστει νέμηταί τις ἢ

ἔχει, ἀλλὰ παρακράτησιν ἐκείνων, καθ' ὅσα ὁ ἀγρὸς ἔγεινε καλλίτερος· ὑπολογιζομένων τῶν καρπῶν ὅσους ἔλαβε πρὸ τῆς ἀντιδικίας.

9. Κατὰ τὴν διάταξιν, ὅταν δίδηται βελτιώσεως τίμημα εἰς τοὺς νεμηθέντας κατὰ καλὴν πίστιν, εἰ μέν τις μὲ ὀλίγα ἔξοδα ἔκαμεν ἀμπελῶνα ἢ ἐλαιῶνα ἢ ἄλλό τι τοιοῦτο, πολλοῦ τιμήματος ἄξιον, δίδονται μόνον τὰ ἔξοδα· εἰ δὲ μὲ πολλὰ ἔξοδα ἐβελτίωσεν ὀλίγον τὸ κτῆμα, δίδεται μόνον τὸ τίμημα τῆς μικρᾶς βελτιώσεως· διότι ὁ κοπιάσας κατακρίνεται ὡς ἄπειρος ἐξοδεύσας χρήματα ἀλογίστως, εἰς γῆν ἴσως ζηρὰν καὶ ἄφορον καὶ μὴ δυναμένην νὰ τρέφῃ καλῶς τὰ ἐμπιστευόμενα εἰς αὐτήν.

10. Καθὼς τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ μαλλίον, οὕτω καὶ ἡ γονὴ τῶν ζώων εἶναι καρπὸς αὐτῶν, καὶ κυριεύει αὐτὰ ὁ καλῆς πίστεως νομεὺς καὶ ὁ καρπούμενος. Ἡ δὲ γονὴ τῆς δούλης δὲν ἀνήκει εἰς αὐτούς, ἀλλὰ εἰς τὸν δεσπότην· διότι ὁ ἄνθρωπος, διὰ τὸν ὁποῖον ἡ φύσις ἑτοίμασε τοὺς καρποὺς, δὲν εἶναι καρπός.

11. Ὁ καλῆς πίστεως νομεὺς τοὺς καρποὺς συνάγων τοὺς κυριεύει, καὶ ἄλλος ἂν τοὺς ἔσπειρε· διότι ὁμοιάζουσι μὲ τὰ προσποριζόμενα ἀπὸ τὰς ἐργασίας τοῦ δούλου, καὶ οἱ καθ' οἱονδήποτε τρόπον συναχθέντες καρποὶ εἶναι τοῦ κατὰ καλὴν πίστιν νομέως.

12. Ἐὰν ὁ καλῆς πίστεως νομεὺς, ἀφοῦ σπείρῃ καὶ πρὶν συνάξῃ τοὺς καρποὺς, γνωρίσῃ ὅτι τὸ χωράφιον εἶναι ἀλλότριον, κυριεύει αὐτοὺς μὲ τὴν σύναξιν· διότι καθόσον ἀνάγεται εἰς τὴν σύναξιν τῶν καρπῶν, ἕως ὅτου ἐκνικηθῇ τὸ χωράφιον, εἶναι κατὰ καλὴν πίστιν νομεύς.

13. Ὁ κακῆς πίστεως νομεὺς δὲν ἀποδίδει μόνον τὸ πρᾶγμα καὶ ὅσους καρποὺς ἐσύναξεν, ἀλλὰ καὶ ὅσους ἐδύνατο νὰ συνάξῃ· δίδει ἀκόμη καὶ τοὺς μετὰ τὴν ἀντιδικίαν. Εἰς δὲ τῆς κληρονομίας τὴν ἀπαίτησιν καταβάλλονται καὶ οἱ πρὸ τῆς ἀντιδικίας καρποί.

14. Ὅταν τις κατὰ κακὴν πίστιν νέμηται τὸ ἀλλότριον πρᾶγ-

ὡς ἀρελόμενος βίᾳ ἢ δυναστείᾳ χρησάμενος ἢ δόλον ποιήσας ἢ γινώσκων ἀλλότριον εἶναι καὶ ἀγαράσας ἢ ἄλλο τοιοῦτον διαπραξάμενος, τριάκοντα δίδονται χρόνοι τῷ τὴν στέρησιν τοῦ πράγματος ὑπομείναντι, ἵνα ἐντὸς τούτων ἀνακαλῆται τὸ ἴδιον δίκαιον· καὶ γίνεται τοῦτο διὰ τὴν προφανῆ κακίαν τοῦ οὕτω κατέχοντος τὸ ἀλλότριον καὶ τὴν πονηρίαν τούτου καὶ τὴν σκαιότητα, ἢ τὸ τῆς γνώμης ἁρπακτικὸν καὶ φιλάδικον. Καὶ τοῦτο μὲν περὶ ἀκινήτων πραγμάτων. Τινὰ δὲ τῶν κινητῶν καὶ μέχρι τριετίας ἀποκαθίστανται, ὅταν καλῇ πίστει ὁ νεμόμενος ταῦτα νέμηται· εἰ δὲ κινητὸν μὲν εἴη τὸ πρᾶγμα, ὁ δὲ κατέχων κακῇ πίστει νέμηται, μέχρι τριακονταετίας καὶ ἡ περὶ αὐτοῦ κίνησις ἐπεκτείνεται.

15. Εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσῃ, ὁ δὲ νομίζων τὰ αὐτὰ πράγματα προσήκειν αὐτῷ τοῦτο γινώσκων ἐντὸς δέκα ἐνιαυτῶν μεταξὺ τῶν παρόντων καὶ εἴκοσι τῶν ἀπόντων, μὴ διαμαρτύρηται κατὰ νόμους τὸν ἀγοραστὴν ἢ τὸν δωρεὰν δεχόμενον ἢ ἐκεῖνον, εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη, τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον βεβαίως ταῦτα ἔχειν, μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν· εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, ὅτι τὰ πράγματα αὐτῷ προσήκει, καὶ ὅτι γέγονεν ἐκποίησις, κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι, πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκωμίσατο. Περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας ταῦτα διατυπῶσαι συνείδομεν, ὥστε εἴποτέ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἀπῶν, ἐπί τινας δὲ παρὼν εἴη, ἄλλους τοσούτους αὐτῷ ἐνιαυτοὺς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπῶν γέγονε.

16. Πάντα τὰ ἄγρια ζῶα, τὰ χερσαῖα, τὰ θαλάσσια, καὶ τὰ ἐ-

μα ἢ ὡς ἀφαιρέσας αὐτὸ μὲ βίαν ἢ μεταχειρισθεὶς δυναστείαν ἢ δολιευθεὶς ἢ ἠξεύρων ὅτι τὸ πρᾶγμα εἶναι ἀλλότριον καὶ ἀγοράσας ἢ ἄλλο τι τοιοῦτο πράξας, δίδονται τριάκοντα ἔτη εἰς τὸν ἀποστερηθέντα τὸ πρᾶγμα, διὰ νὰ ἀνακαλέσῃ ἐντὸς τούτων τὸ δίκαιόν του. Γίνεται δὲ τοῦτο διὰ τὴν προφανῆ κακίαν τοῦ οὕτω κατέχοντος τὸ ἀλλότριον πρᾶγμα καὶ διὰ τὴν πονηρίαν αὐτοῦ καὶ τὴν σκαιότητα, ἢ διὰ τὴν ἁρπακτικὴν καὶ φιλάδικον προαίρεσίν του. Καὶ τοῦτο μὲν διατυποῦται περὶ τῶν ἀκινήτων πραγμάτων. Τινὰ δὲ τῶν κινητῶν ἀποκατασταίνονται καὶ ἕως τριετίαν ὅταν ὁ νομεὺς τὰ νέμηται κατὰ καλὴν πίστιν· εἰ δὲ τὸ πρᾶγμα εἶναι κινητὸν, ὁ δὲ κατέχων τὸ νέμεται κατὰ κακὴν πίστιν, ἡ περὶ τούτου ἀγωγὴ ἐκτείνεται ἕως τριακονταετίαν.

15. Ἐάν τις νεμόμενος πράγματα κατὰ κακὴν πίστιν τὰ ἐκποιήσῃ ἢ κατὰ πώλησιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως πως, ὁ δὲ νομίζων ὅτι τὰ αὐτὰ πράγματα τὸν ἀνήκουσιν, εἰξεύρων τὴν πρᾶξιν ταύτην, δὲν διαμαρτύρηται κατὰ νόμους ἐντὸς δέκα ἐτῶν, μεταξὺ παρόντων καὶ ἐντὸς εἴκοσι μεταξὺ ἀπόντων, ἐναντίον τοῦ ἀγοραστοῦ ἢ τοῦ δεχομένου τὴν δωρεὰν ἢ ἐκείνου, πρὸς τὸν ὁποῖον μετεβιβάσθησαν τὰ πράγματα καθ' οἱονδήποτε ἄλλον τρόπον, ὁ παραλαβὼν τὰ τοιαῦτα πράγματα, μετὰ παρέλευσιν τῆς δεκαετίας εἰς παρόντας καὶ εἰκοσαετίας εἰς ἀπόντας, τὰ κυριεύει ἰσχυρῶς. Εἰ δὲ ὁ ἀληθὴς κύριος τῶν ἐκποιηθέντων πραγμάτων ἀγνοεῖ, ὅτι αὐτὰ τὸν ἀνήκουσι, καὶ ὅτι ἔγεινεν ἐκποίησις, οὗτος δὲν ἀποκλείεται ἄλλως, εἰμὴ μὲ τῆς τριακονταετίας τὴν παραγραφὴν, χωρὶς ὁ νεμόμενος οὕτω τὰ πράγματα νὰ δύναται νὰ λέγῃ, ὅτι αὐτὸς τὰ νέμεται κατὰ καλὴν πίστιν, ὅταν παρέλαβε ταῦτα ἀπὸ τὸν νεμηθέντα κατὰ κακὴν πίστιν. Περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας διατυποῦμεν τὰ ἑξῆς· ἐάν τις εἰς τὴν προλεχθεῖσαν τῆς δεκαετίας παραγραφὴν τινὰ μὲν ἔτη ἀπεδήμει, τινὰ δὲ ἐνδημοῦσε, προσθέτονται ὑπὲρ αὐτοῦ εἰς τὴν δεκαετίαν ἄλλα τόσα ἔτη, ὅσα κατὰ τὸν χρόνον τοῦτον ἀπεδήμει.

16. Ὅλα τὰ ἄγρια ζῶα, τὰ χερσαῖα, τὰ θαλάσσια, τὰ ἐναέ-

ναέρια τῶν λαμβανόντων γίνονται μετὰ καὶ ὧν τίκτουσι· τὸ γὰρ μηδενὸς ὂν τοῦ προκαταλαμβάνοντος γίνεται. (B. L. 1. 1—3.)

17. Ἡ τῶν μελισσῶν φύσις ἀγρία ἐστίν· ἀμέλει τοι αἱ ἐν τῷ σῷ δένδρῳ καθεσθεῖσαι μέλισσαι τῆς σῆς οὐ γίνονται δεσποτείας, πρὶν αὐτὰς τοῖς σίμβλοις ἐναποκλείσῃς· ὥσπερ οὐδὲ τὰ ὄρνεα, ἅτινα ἐν τῷ σῷ δένδρῳ νεοττίαν κατεσκεύασε, πρὶν ἐξευθῇ, τῆς σῆς οὐκ εἰσι δεσποτείας, ἀλλὰ τοῦ προκαταλαμβάνοντος γίνονται· καὶ τὰς μελικηρίδας εἴ τινας ὑπὸ τῶν μελισσῶν γενέσθαι συμβῇ, ὁ βουλόμενος ἐξελέσθαι δύναται, εἰ καὶ κατὰ τὸν σὸν ἀγρὸν αὗται γεγόνασιν. (B. L. 1. 4.)

18. Ὁ τῶν μελισσῶν ἐσμὸς, ἐὰν τοὺς σοὺς σίμβλους καταλιπὼν ἀποπτῇ, μέχρι τοσούτου τῆς σῆς εἶναι νοεῖται δεσποτείας, ἄχρις οὗ τοῖς σοῖς ὑποπέπτωκεν ὀφθαλμοῖς, καὶ ἡ τούτων κατάληψις οὐκ ἐστι δυσχερής· εἰ γὰρ δυσχερής ἐστιν ἡ τούτων κατάληψις, ἢ τὴν σὴν διέφυγε θέαν, τοῦ καταλαβόντος γίνεται. Καὶ ἡ τῶν ταώνων καὶ τῶν περιστερῶν φύσις ἀγρία ἐστί.

19. Τοιοῦτος δὲ ἡμῖν ἰσχυρότατος κανὼν παραδέδοται, οἷον ἐπὶ μελισσῶν, περιστερῶν, ταώνων καὶ ἐλάφων· λέγομεν γὰρ μέχρι τούτου τῆς ἡμετέρας εἶναι δεσποτείας, ἕως οὗ λογισμὸν ἔχει πρὸς ἡμᾶς ὑποστρέφειν· εἰ δὲ παύσονται τοιαύτην ἔχειν διάνοιαν, παύσονται τῆς ἡμετέρας εἶναι δεσποτείας, καὶ τοῦ προκαταλαμβάνοντος γίνεται· δῆλη δὲ ἡ τούτων γίνεται διάνοια ἐκ τῆς συνηθείας, ἣν ἔχουσι περὶ τὴν ὑποστροφὴν αὐτῶν.

20. Τὰ ἥμερα ὄρνιθια εἰ ἔκ τινος τύχης ταραχθέντα ἀποπτῇ καὶ τὴν σὴν διαφύγῃ θέαν, ἐν οἱῳδήποτε εὑρεθέντα τόπῳ τῆς σῆς οὐδὲν ἧττόν εἰσι δεσποτείας. (B. L. 1. 4.)

21. Τὸ τρωθὲν παρά τινος ἄγριον ζῶον, καὶ διαφυγὸν μὲν τὰς ἐκείνου χεῖρας, παρ' ἑτέρου δὲ μετὰ ταῦτα καταληφθὲν οὐ γίνεται τῆς τοῦ τρώσαντος δεσποτείας, ἀλλὰ τοῦ καταλαβόντος· μὴ ἑτέρωσε γὰρ τὸν τρώσαντα γενέσθαι δεσπότην τοῦ θηρίου, εἰ μὴ καὶ τούτου δράξεται. Πολλὰ γὰρ ἐν τῷ μεταξὺ συμβῆναι δύναται, ἅτινα οὐκ ἐᾷ τοῦτον τὸ εἰρημένον θηρᾶσαι ζῶον.

ρια καὶ ἡ γονὴ αὐτῶν γίνονται τῶν ἐπιλαμβανόντων· διότι τὸ ἀκυρίευτον γίνεται τοῦ προκαταλαμβάνοντος.

17. Ἡ φύσις τῶν μελισσῶν εἶναι ἀγρία· ὅθεν ὅσαι μέλισσαι ἐκάθισαν εἰς τὸ δένδρον σου δὲν γίνονται τῆς κυριότητός σου, πρὶν τὰς ἐγκλείσῃς εἰς τὰ κωφίνια· καθὼς οὐδὲ τὰ πτηνὰ, ὅσα κατεσκεύασαν φωλεὰν εἰς τὸ δένδρον σου, πρὶν τὰ κατάσχῃς, δὲν εἶναι τῆς κυριότητός σου, ἀλλὰ γίνονται τοῦ ἐπιλαμβάνοντος. Καὶ τὰς κηρήθρας τοῦ μέλιτος ἐὰν συμβῇ νὰ κάμωσί τινας αἱ μέλισσαι, δύναται νὰ πάρῃ ὁ βουλόμενος, καὶ εἰς τὸν ἀγρόν σου ἐὰν ἦναι.

18. Τὸ σμῆνος τῶν μελισσῶν, ἐὰν ἀφήσῃ τὰ κωφινιά σου καὶ πετάξῃ, ἕως τότε λογίζεται ὅτι εἶναι τῆς κυριότητός σου, ἕως ὅτου ὑποπίπτει εἰς τὴν ὅρασίν σου, καὶ ἡ κατάληψις αὐτῶν δὲν εἶναι δύσκολος· διότι ἐὰν ἦναι δύσκολον νὰ τὰς καταρθήσῃς, ἢ διέφυγον τὴν ὅρασίν σου, γίνεται τοῦ ἐπιλαμβάνοντος. Καὶ τῶν ταώνων καὶ περιστερῶν ἡ φύσις εἶναι ἀγρία.

19. Εἰς μέλισσας, περιζερὰς, ταῶνας καὶ ἐλάφους μᾶς παρεδόθη κανὼν ἰσχυρότατος· καὶ λέγομεν ὅτι ἕως τότε εἶναι τῆς κυριότητός μας, ἕως ὅτου ἔχουσι προαίρεσιν νὰ ἐπιστρέφωσι πρὸς ἡμᾶς· εἰ δὲ παύσωσι νὰ ἔχωσι τὴν τοιαύτην προαίρεσιν, παύουσι νὰ ἦναι τῆς κυριότητος ἡμῶν, καὶ γίνονται τοῦ ἐπιλαμβάνοντος. Ἡ δὲ προαίρεσις αὐτῶν δηλοῦται ἀπὸ τὴν συνήθειαν, τὴν ὁποίαν ἔχουσιν εἰς τὴν ἐπιστροφήν των.

20. Τὰ ἥμερα ὀρνίθια ἐὰν ταραχθῶσιν ἀπὸ αἰτίαν τινὰ καὶ πετάξωσι καὶ διαφύγωσι τὴν ὅρασίν σου, εἰς οἱονδήποτε τόπον κ' ἐὰν εὑρεθῶσιν εἶναι ἐπίσης τῆς κυριότητός σου.

21. Τὸ πληγωθὲν παρά τινος ἄγριον ζῶον, ἂν διέφυγε τὰς χεῖρας αὐτοῦ, καὶ κατελήφθη ἔπειτα ἀπὸ ἄλλον, δὲν γίνεται τῆς κυριότητος τοῦ πληγώσαντος αὐτὸ, ἀλλὰ τοῦ ἐπιλαβόντος· διότι ὁ πληγώσας δὲν γίνεται ἄλλως κύριος τοῦ ζώου, εἰμὴ καὶ ἐὰν τὸ συλλάβῃ· διότι ἐνδεχόμενον νὰ συμβῶσιν εἰς τὸ μεταξὺ πολλὰ, τὰ ὁποῖα τὸν ἐμποδίζουσι νὰ κυνηγήσῃ τὸ προλεχθὲν ζῶον.

22. Ὅταν ἐξ ἀλλοτρίας ὕλης εἰς εἶδος παρά τινος ἀμειφθῇ τι, εἰ τὸ κατασκευασθὲν εἶδος ἀναλυθῆναι δύναται εἰς τὴν πελαιὰ ὕλην, ἐξ ἧς γέγονεν, ὁ τῆς ὕλης δεσπότης καὶ τοῦ εἴδους ἔσται δεσπότης· εἰ δὲ τὸ εἶδος ἀναδραμεῖν εἰς τὴν ἀρχαίαν ὕλην οὐ δύναται, τὸν κατασκευάσαντα τὸ εἶδος εἶναι τοῦ γινομένου δεσπότην. Οἷον ὡς ἐπὶ θέματος· ἀπὸ βώλου χαλκοῦ ἢ ἀργύρου ἢ χρυσοῦ τὸ κατασκευασθὲν σκεῦος δύναται χωνευθὲν τὴν ἀρχαίαν ἀποτελέσαι βῶλον χαλκοῦ ἢ ἀργύρου ἢ χρυσοῦ· ὁ δὲ οἶνος ἢ τὸ ἔλαιον ἢ ὁ σῖτος εἰς σταφυλὰς ἢ ἐλαίας ἢ στάχυας ὑποστρέφειν οὐ δύναται, ἀλλ' οὐδὲ τὸ οἰνόμελι εἰς οἶνον καὶ μέλι διαλύεσθαι.

23. Ταῦτα μὲν ἐν ᾧ πᾶσα ἡ ὕλη ἀλλοτρία ἦν. Εἰ δὲ ἐξ ἐμῆς καὶ σῆς ὕλης ἐποίησά τι εἶδος· οἷον ἐξ ἐμοῦ καὶ σοῦ οἴνου καὶ μέλιτος οἰνόμελι, ἢ ἐξ ἐμοῦ καὶ σοῦ ἐρίου ἐσθῆτα, ἀναμφίβολον ἐπὶ τούτων τῶν θεμάτων τοῦ κατασκευασθέντος εἶναί με δεσπότην· οὐ γὰρ μόνον οἰκείαν ἐργασίαν ἐδαπάνησα περὶ τὸ εἶδος, ἀλλὰ καὶ μέρος παρέσχον τῆς ὕλης. Ἰστέον δὲ ὅτι ἐπὶ τῶν τοιούτων εἰ μὲν καλῇ πίστει εἰς τι εἶδος ὕλη μετεσκευάσθη, δύναται ζητεῖν ὁ κατασκευάσας τὰς δαπάνας· εἰ δὲ κακῇ πίστει, ζητεῖν ταύτας οὐ δύναται.

24. Εἰ δὲ δύο ὕλαι τινῶν κατὰ γνώμην ἐμίγησαν τῶν δεσποτῶν, τὸ ἐκ τῆς μίξεως ἀποτελούμενον σῶμα ἑκατέρων ἔσται κοινόν. Εἰ δὲ ἐκ τύχης καὶ οὐ κατὰ προαίρεσιν τῶν δεσποτῶν συνεχύθησαν αἱ ὕλαι ἢ ἑτερογενεῖς ἢ ὁμογενεῖς, τὸ αὐτὸ γενήσεται.

25. Ὅσα ἀπὸ τῶν πολεμίων εἰλήφαμεν, ἡμέτερα παραχρῆμα γίνονται.

26. Ἐάν τις ἐν τῷ ἰδίῳ ἐδάφει οἰκο· κατασκευάσῃ ἐξ ἀλλοτρίων ὑλῶν, δεσπότης γίνεται τοῦ κατασκευασθέντος· οὐ γὰρ ἐποικοδομηθὲν εἶκει τῷ ἐδάφει· ἐκείνου ὄντος δήλου, ὅτι ὁ τῆς ὕλης δεσπότης τῆς δεσποτείας οὐκ ἐκπίπτει τῆς ὕλης.

22. Ὅταν τις ἀπὸ ἀλλοτρίαν ὕλην μεταπλάσσῃ τι εἰς νέον εἶδος, ἐὰν τὸ κατασκευασθὲν εἶδος δύναται νὰ ἀναλυθῇ εἰς τὴν ἀρχαίαν ὕλην, ἀπὸ τὴν ὁποίαν ἐπλάσθη, ὁ κύριος τῆς ὕλης εἶναι καὶ τοῦ εἴδους· εἰ δὲ τὸ εἶδος δὲν δύναται νὰ μεταβληθῇ εἰς τὴν ἀρχαίαν ὕλην, ὁ κατασκευάσας τὸ εἶδος εἶναι τοῦ γινομένου κύριος. Καθὼς εἰς τὴν περίστασιν ταύτην· τὸ κατασκευασθὲν σκεῦος ἀπὸ βῶλον χαλκοῦ ἢ ἀργύρου ἢ χρυσίου δύναται νὰ χωνευθῇ καὶ νὰ ἀποτελέσῃ τὸν ἀρχαῖον βῶλον χαλκοῦ ἢ ἀργύρου ἢ χρυσίου· ὁ δὲ οἶνος ἢ τὸ ἔλαιον ἢ ὁ σῖτος δὲν δύναται νὰ μεταβληθῇ εἰς σταφυλὰς ἢ ἐλαίας ἢ στάχυα, οὐδὲ τὸ οἰνόμελι νὰ διαλύηται εἰς οἶνον καὶ μέλι.

23. Καὶ ταῦτα μὲν κρατοῦσιν ὅπου ἡ ὕλη ὅλη ἦτον ἀλλοτρία· εἰδὲ ἀπὸ ἰδικήν μου καὶ ἰδικήν σου ὕλην κατεσκεύασα εἶδός τι· καθὼς ἀπὸ ἰδικόν μου καὶ ἰδικόν σου οἶνον καὶ μέλι, οἰνόμελι, ἢ ἀπὸ ἰδικόν μου καὶ ἰδικόν σου μαλλίον, φόρεμα, ἀμφιβολίαν δὲν ἐπιδέχεται ὅτι εἰς τὰς περιστάσεις ταύτας εἶμαι κύριος τοῦ κατασκευασθέντος εἴδους· διότι δὲν κατέβαλον μόνον τὴν ἰδίαν μου ἐργασίαν εἰς τὸ εἶδος, ἀλλὰ καὶ μέρος τῆς ὕλης. Γνωστὸν δὲ ἔστω ὅτι εἰς τὰ τοιαῦτα ἂν ἡ ὕλη μετεπλάσθη εἰς εἶδός τι κατὰ καλὴν πίζιν, ὁ κατασκευάσας δύναται νὰ αἰτῇ τὰ ἔξοδα· εἰ δὲ καὶ τοῦτο ἔγεινε κατὰ κακὴν πίστιν, δὲν δύναται νὰ τὰ αἰτῇ.

24. Καὶ εἰ μὲν δύο ὕλαι τινῶν ἐσμίχθησαν κατὰ γνώμην τῶν κυρίων, τὸ ἀποτελούμενον σῶμα ἀπὸ τὴν μίξιν εἶναι κοινὸν ἀμφοτέρων· εἰ δὲ αἱ ὕλαι ἐσμίχθησαν ἀπὸ τύχης καὶ ὄχι κατὰ γνώμην τῶν κυρίων, εἴτε ὁμογενεῖς εἴτε ἑτερογενεῖς εἶναι αὗται, τὸ αὐτὸ γίνεται.

25. Ὅσα ἐλάβομεν ἀπὸ τοὺς πολεμίους, γίνονται, εὐθὺς ἰδικά μας.

26. Ἐάν τις ἀπὸ ἀλλοτρίας ὕλας κατασκευάσῃ οἰκίαν εἰς τὴν ἰδίαν του γῆν, γίνεται κύριος τοῦ κατασκευασθέντος· διότι τὸ ἐπικτισθὲν ὑπήκει εἰς τὸ ἔδαφος· εἶναι ὅμως φανερὸν, ὅτι ὁ κύριος τῆς ὕλης δὲν ἐκπίπτει ἀπὸ τὴν κυριότητα αὐτῆς.

27. Ἐάν τις ἐπικτίσῃ τοῖς ἐμοῖς οἰκήμασιν ἀνώγεα, ἐγὼ τούτων γίνομαι κύριος διὰ τὸν κανόνα τὸν λέγοντα, εἶκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. Εἰ δὲ ἐν τῷ ἐμῷ ἐδάφει κτίσῃ τις, δεσπότης γίνομαι τοῦ οἰκήματος, ἐφ' ὅσον ἐν τῇ αὐτῇ καταστάσει μένει τὸ οἴκημα· ἐὰν γὰρ καταλυθῇ, δύναται ὁ οἰκοδομήσας ἐκδικῆσαι τὰς ὕλας, εἴτε καλῇ πίστει εἴτε κακῇ πίστει ᾠκοδόμησεν. (B. XV. 1. 82.)

28. Ὁ ἐν αἰγιαλῷ κτίζων δεσπόζει τοῦ κτισθέντος· ὁ δὲ ἐν ὄχθῃ ποταμοῦ κτίζων οὐ δεσπόζει αὐτοῦ. Αἰγιαλὸς δέ ἐστι τόπος μέχρις οὗ τὸ χειμέριον κῦμα ἔξεισιν· ὥστε οὖν κἂν τῷ θέρει μέχρι τῶν τόπων ἐκείνων τὸν αἰγιαλὸν ὁριζόμεθα. (B. L. 1. 13.)

29. Ἐάν τινες ὁπουδήποτε διὰ προσχώσεως κτήσωνται γῆν, δεσπόται αὐτῆς γίνονται. (B. L. 16. 3.)

30. Νῆσος ἐν θαλάσσῃ φυομένῃ τοῦ προκαταλαμβάνοντος γίνεται. Νῆσος ποταμία εἰ μὲν ἐν τῷ μέσῳ φυῇ, τοῖς ἐν ἑκατέρᾳ ὄχθῃ κειμένοις κατὰ μέρος τῆς πλατύτητος διοίσει· εἰ δὲ τῷ ἑνὶ πλησιάσει μέρει, τοῦ πλησιασθέντος μέρους ἔσται.

31. Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥέῃ τουτέστι τοῦ σοῦ καὶ ἐμοῦ, εἶτα κατὰ βραχὺ καὶ ἀνεπαισθήτως προσθήσει γῆν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαί τινα νοῆσαι πόσον, καὶ ἐν ποίῳ χρόνῳ τῆς ἡμετέρας ἔστη δεσποτείας, τὸ προστιθέμενον τοῦτο, ἐμὸν γίνεται· εἰ δὲ ἡ τοῦ ποταμοῦ βία καὶ ὁρμὴ μέρος τι τοῦ σοῦ ἀγροῦ ἀφείλετο καὶ ἐν τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, δῆλόν ἐστιν ὅτι τὸ προστεθὲν τῆς σῆς μένει δεσποτείας· οὐδὲ γὰρ ἀνεπαισθήτως τοῦτο γέγονεν.

32. Ἐμὰς μεμβράνας ἢ ἐμοὺς χάρτας λαβών τις ἐνέγραψέ τι ἐν αὐταῖς, καὶ βιβλίον κατεσκεύασε, κἀνταῦθα κατὰ μίμησιν τοῦ ἐδάφους εἶκει τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, εἰ καὶ τὰ μάλιστα χρυσᾶ ἐστι τὰ ἐπιτιθέντα γράμματα, κἀγὼ γίνομαι τοῦ βιβλίου δεσπότης. Τοὐναντίον δὲ ἐπὶ τῆς εἰκόνος γίνεται· εἶκει γὰρ ἡ ξένη σανὶς τῇ γραφῇ καὶ γίνεται καὶ τῆς ἀλλοτρίας σανίδος δεσπότης ὁ τὴν γραφὴν ἐν αὐτῇ κατασκευάσας. (B. L. 1. 8.)

27. Ἐάν τις ἐπικτίσῃ εἰς τὰ οἰκήματά μου ἀνώγεα, τούτων κύριος γίνομαι ἐγὼ διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι τὰ ἐπικείμενα ὑπείκουσιν εἰς τὰ ὑποκείμενα. Εἰ δέ τις κτίσῃ εἰς τὸ ἔδαφός μου, γίνομαι κύριος τοῦ οἰκήματος, ἕως ὅτου τὸ οἴκημα μένει εἰς τὴν αὐτὴν στάσιν. Εἰ δὲ χαλάσῃ αὐτό, δύναται ὁ οἰκοδομήσας νὰ ἀναλάβῃ τὰς ὕλας, εἴτε κατὰ καλὴν εἴτε κατὰ κακὴν πίζιν ἔκτισεν.

28. Ὁ κτίζων εἰς αἰγιαλὸν κυριεύει τὸ κτισθέν· ὁ δὲ κτίζων εἰς ὄχθην ποταμοῦ δὲν γίνεται κύριος τοῦ κτιρίου. Αἰγιαλὸς δὲ εἶναι τόπος ἕως ὅτου ἐκχειλίζει τὸ κῦμα τοῦ χειμῶνος· ὥστε καὶ τὸ θέρος ἕως τοὺς τόπους τούτους ὁρίζεται ὁ αἰγιαλός.

29. Ἐάν τινες ὁπουδήποτε ἀποκτήσωσι γῆν ἀπὸ πρόσχωσιν, γίνονται κύριοι αὐτῆς.

30. Νῆσος ἀναφαινομένη εἰς θάλασσαν γίνεται τοῦ ἐπιλαμβάνοντος. Νῆσος ποταμία, ἐὰν ἀναφανῇ εἰς τὴν μέσην τοῦ ποταμοῦ, ἀνήκει εἰς τοὺς παρακειμένους ἐπὶ τὴν μίαν καὶ τὴν ἄλλην ὄχθην κατὰ τὸ μέρος τῆς πλατύτητος· εἰ δὲ πλησιάσει εἰς τὸ μέρος τοῦ ἑνὸς εἶναι τοῦ πλησιεστέρου.

31. Ἐὰν μέσον δύο ἀγρῶν τρέχῃ ποταμὸς, τοῦ ἰδικοῦ μου λογ. καὶ ἰδικοῦ σου, ἔπειτα κατ' ὀλίγον καὶ ἀνεπαισθήτως προσθέσῃ χῶμα εἰς τὴν γῆν μου, ὥστε νὰ μὴ δύναταί τις νὰ ἐννοήσῃ πόσον, καὶ εἰς ποῖον χρόνον ὑπῆρχε τῆς κυριότητος ἑκάστου ἡμῶν, τὸ προσθετόμενον τοῦτο γίνεται ἰδικόν μου. Εἰ δὲ ἡ βία καὶ ὁρμὴ τοῦ ποταμοῦ ἀποκόψῃ μέρος τι ἀπὸ τὸν ἀγρόν σου καὶ τὸ προσθέσῃ εἰς τὸν ἰδικόν μου, εἶναι φανερὸν ὅτι τὸ προστεθὲν τοῦτο μένει τῆς κυριότητός σου· διότι τοῦτο δὲν ἔγεινεν ἀνεπαισθήτως.

32. Λαβών τις μεμβράνας ἢ χαρτία μου ἔγραψέ τι εἰς αὐτὰ, καὶ ἀπήρτισε βιβλίον, καὶ εἰς τὸ παρὸν κατὰ μίμησιν τοῦ ἐδάφους τὰ ἐπικείμενα ὑπείκουσιν εἰς τὰ ὑποκείμενα, καὶ χρυσᾶ μάλιστα ἐὰν ἦναι τὰ ἐπιτεθέντα γράμματα, ἐγὼ γίνομαι κύριος τοῦ βιβλίου. Εἰς δὲ τὴν εἰκόνα γίνεται τοὐναντίον· διότι ἡ ἀλλοτρία σανὶς ὑπείκει εἰς τὴν ζωγραφίαν καὶ ὁ ζωγράφος γίνεται κύριος καὶ τῆς ἀλλοτρίας σανίδος.

33. Ὅτι εἰ μὲν ἐκκλησιαστικὸν μέρος τι κατάσχω διὰ τεσσαρακονταετίας, δεσπόζω αὐτοῦ· εἰ δὲ τὸ μοναστήριον σχῶ ὅλον, οὐδέποτε δύναμαι κτήσασθαι, οὐδὲ βοηθεῖ μοι χρόνος οὐδεὶς διὰ τὸ τὸν νόμον ῥητῶς ἀποφαίνεσθαι, τὰ ῥελιγιῶσα καὶ τὰ σάκρα μὴ διὰ χρόνου δεσπόζεσθαι· εἰ μέντοι ἐπίσκοπος ἐκκλησίαν ἢ μοναστήριον ἑτέρου ἐπισκόπου κατάσχοι, διὰ τριακονταετίας ἀναμφιβόλως τούτου δεσπόσει· ὡσανεὶ γὰρ ἀπὸ ἱερέως εἰς ἱερέα μετήχθη τὸν δυνάμενον καὶ αὐτὸν ἐφορᾶν. (B. V. 3. 7.)

34. Ὁ κληρονόμος τοῦ κακῇ πίστει νεμηθέντος κἂν αὐτὸς καλῇ πίστει νεμηθῇ, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν· τὰ γὰρ ἐλαττώματα τοῦ τελευτήσαντος διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον. (B. Ll. 1. 10.)

35. Ὁ κακῇ πίστει ξένον οἶκον κρατῶν καὶ νεμηθεὶς ἀποδίδωσι τῷ κυρίῳ τούτου αὐτὸν μετὰ πάντων, ὧν εἰς βελτίωσιν τοῦ οἴκου ποιήσῃ, τὰς δὲ ἐπ' αὐτῷ ἐξόδους οὐ λαμβάνει.

36. Ὅτι τότε κτᾶται τὴν νομὴν ὅτε μηδεὶς αὐτῷ ἐνοχλῇ νεμομένῳ. (B. L. 2. 61.)

37. Τὸ κλοπιμαῖον οὐ δεσπόζεται διὰ τῆς χρήσεως.

38. Ὁ ἀγοράσας ἀγρὸν καὶ εἰδὼς μέρος αὐτοῦ ἀλλότριον, εἰ μὲν ἀγνοεῖ ποῖον, οὐδὲν κτᾶται τοῦ ἀγροῦ· εἰ δὲ οἶδε, τὰ λοιπὰ διὰ τῆς χρονίας νομῆς δεσπόζει. (B. L. 4. 3.)

39. Τὰ ἐλαττώματα τοῦ τελευτήσαντος διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον, καὶ ἐπὶ κληρονομίας διὰ τὸ χρᾶσθαι δεσποτείᾳ οὖκ ἐστιν· οὐδὲ δύναταί τις εἰπεῖν, ὡς τῆς κληρονομίας ὑπάρχον τὸ πρᾶγμα διὰ τῆς χρήσεως ἐδέσποσα· ἐπειδὴ δοκεῖ αὐτὸς καλῇ πίστει νέμεσθαι.

40. Ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων οὐκ ἀναγκάζεται ὁ τὸ πρᾶγμα νεμόμενος δεικνύειν, πόθεν ἴσχε τὴν ἀρχὴν τῆς νομῆς, οὐδὲ βιάζει εἰς τὴν ἀπόδειξιν τούτου ὁ τὸ πρᾶγμα ἀνακαλούμενος· ὅταν δέ τις ἀνακαλῆται τι, ὡς κατὰ κληρονομίαν διαφέρον

33. Ἐὰν τεσσαράκοντα ἔτη νεμηθῶ μέρος τι ἐκκλησιαστικόν, τὸ κυριεύω· εἰ δὲ κατακρατήσω τὸ μοναστήριον ὁλόκληρον, δὲν δύναμαί ποτε νὰ τὸ ἀποκτήσω, οὐδὲ μὲ βοηθεῖ κανεὶς χρόνος· διότι ὁ νόμος ἀποφαίνεται ῥητῶς, ὅτι τὰ ὅσια καὶ ἱερὰ δὲν κυριεύονται μὲ τὸν χρόνον. Εἰ δὲ ἐπίσκοπος κατακρατήσῃ μοναστήριον ἢ ἐκκλησίαν ἄλλου ἐπισκόπου, γίνεται ἀναμφιβόλως κύριος αὐτοῦ μὲ τὴν τριακονταετίαν· διότι μετέβη ὡς ἀπὸ ἱερέως εἰς ἱερέα ὅστις δύναται καὶ αὐτὸς νὰ διοικῇ ταῦτα.

34. Ὁ κληρονόμος τοῦ κατὰ κακὴν πίστιν νομέως καὶ αὐτὸς ἐὰν νεμηθῇ κατὰ καλὴν πίστιν, δὲν δύναται νὰ κυριεύσῃ διὰ τῆς πολυχρονίου νομῆς· διότι τὰ ἐλαττώματα τοῦ ἀποθανόντος διαβαίνουσιν εἰς τὸν κληρονόμον.

35. Ὁ κατὰ κακὴν πίστιν κρατῶν καὶ νεμηθεὶς ἀλλοτρίαν οἰκίαν τὴν ἀποδίδει εἰς τὸν κύριον αὐτῆς μὲ ὅλα, ὅσα κατασκευάσῃ πρὸς βελτίωσιν τῆς οἰκίας, καὶ δὲν λαμβάνει τὰ πρὸς τοῦτο ἔξοδα.

36. Τότε ἀποκτᾷ τις τὴν νομὴν ὅταν κανεὶς δὲν τὸν ἐνοχλῇ νεμόμενον.

37. Τὸ κλοπιματον διὰ τῆς χρήσεως δὲν κυριεύεται.

38. Ὁ ἀγοράσας ἀγρὸν καὶ εἰξεύρων ὅτι μέρος αὐτοῦ εἶναι ἀλλότριον, εἰ μὲν ἀγνοεῖ ποῖον εἶναι τοῦτο, δὲν ἀποκτᾷ κἀνὲν μέρος τοῦ ἀγροῦ· εἰ δὲ εἰξεύρει, τὰ λοιπὰ κυριεύει διὰ τῆς πολυχρονίου νομῆς.

39. Τὰ ἐλαττώματα τοῦ ἀποθανόντος διαβαίνουσιν εἰς τὸν κληρονόμον, καὶ εἰς τὴν κληρονομίαν κυριότης διὰ τῆς χρήσεως δὲν ὑπάρχει· οὔτε δυναταί τις νὰ εἰπῇ, ὅτι τὸ πρᾶγμα ἦτον τῆς κληρονομίας καὶ τὸ ἐκυρίευσα διὰ τῆς χρήσεως· διότι αὐτὸς ὑπολαμβάνεται ὅτι τὸ νέμεται κατὰ κακὴν πίστιν.

40. Εἰς τὰ ἄλλα πράγματα δὲν ἀναγκάζεται ὁ νομεὺς νὰ δεικνύῃ, πόθεν ἔλαβε τῆς νομῆς τὴν ἀρχὴν, οὐδὲ βιάζει εἰς τὴν ἀπόδειξιν τούτου ὁ ἀνακαλῶν τὸ πρᾶγμα. Ὅταν δέ τις ἀνακαλῇ πρᾶγμα, ὡς ἀνῆκον εἰς αὐτὸν κατὰ κληρονομίαν, ἔχει τὴν ἀ-

αὐτῷ, ἐπ' ἀδείας ἔχει ἀπαιτεῖν τὸν νεμόμενον, ἵνα δείξῃ, τίνι τρόπῳ ἐνεμήθη αὐτό. (B. XLII. 1. 69.)

41. Ὁ λαβὼν οὐ μὴν ὁ ὑπονοῶν δωρεὰν διὰ τῆς χρονίας νομῆς δεσπόζει. (B. L. 6. 1.)

42. Τὸ δωρηθέν μοι παρὰ τοῦ πατρὸς οὐδὲ τελευτῶντος διὰ τῆς χρονίας νομῆς δεσπόζω· οὐδὲ γὰρ ἔῤῥωται ἡ δωρεὰ διὰ τὴν ὑπεξουσιότητα. (B. L. 5. 2.)

43. Ἡ διάταξις κελεύει πάντα τὰ πράγματα, εἰ μὲν κινητὰ ἢ αὐτοκίνητα εἴησαν, διὰ τριετίας τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι· εἰ δὲ ἀκίνητα, διὰ δέκα καὶ εἴκοσιν ἐνιαυτούς· δέκα μὲν ὅτε πάρεστιν ὁ δεσπότης, εἴκοσι δὲ ὅτε ἄπεστιν. (B. L. 10. 4.)

44. Ἐάν τις ἐπίκοινον πρᾶγμα ἔχων νεμηθῇ ἐξ ὁλοκλήρου ἐπὶ δέκα ἢ εἴκοσιν ἐνιαυτούς, οὐκ ἔχει μακροῦ χρόνου παραγραφήν· τῇ τριακονταετίᾳ γὰρ μόνῃ κατακλείεται. (B. L. 12. 3.)

45. Ὁ εἰδὼς σὺν ἑτέρῳ κοινὸν ἔχειν ἀγρὸν καὶ τοὺς καρποὺς ἄκοντος ἢ ἀγνοοῦντος τοῦ κοινωνοῦ λαμβάνων οὐ δεσπόζει αὐτῶν, εἰ μὴ κατὰ τὸ ἀναλογοῦν αὐτῷ μέρος, ὁστισδήποτε ἔσπειρεν αὐτούς· οἱ γὰρ καρποὶ οὐ τῷ σπόρῳ, ἀλλὰ τῇ γῇ ἕπονται· καὶ ὁ κακῇ πίστει νομεὺς τῶν ὁπωσοῦν σπαρέντων καρπῶν οὐ δεσπόζει. (B. XXIII. 3. 25.)

46. Ὁ παρὰ κακῇ πίστει νομέως ἀγοράσας καλῇ πίστει δύναται τὸ πρᾶγμα διὰ χρήσεως δεσπόσαι.

47. Ἐάν τις νεμηθῇ πρᾶγμα δημόσιον ἐπὶ τέσσαρας ἐνιαυτούς, ἔχει κατὰ τοῦ δημοσίου τὴν τῆς τετραετίας παραγραφήν.

48. Οὐ δύνανται ὁ νομεὺς ἐκδικουμένου τοῦ ἀγροῦ, ὃν ἐγεώργησε καὶ ἔσπειρε, τὸν σπόρον ἐπᾶραι.

49. Τὸ ἀπὸ ναυαγίου ἢ ἀποβολῆς διὰ χρονίας χρήσεως οὐ δεσπόζεται· οὐδὲ γάρ ἐστιν ἀδέσποτον. (B. LIII. 3. 22).

50. Ὁ ἐξ ἄλλου λαβὼν κἂν βίᾳ ἢ λάθρᾳ ἢ παρακλήσει νικᾷ σε ἐνάγοντα· οὐ μὴν εἰ ἀπὸ σοῦ ἔλαβε, παρὰ σοῦ γὰρ νέμεται· πρὸς ἄλλους δὲ εἴτε δικαίως εἴτε ἀδίκως νέμεται, πλέον ἔχει τοῦ μὴ νεμομένου. (B. LVIII. 17. 1.)

θειαν νὰ ἀπαιτῇ τὸν νομέα νὰ ἀποδείξῃ, κατὰ τίνα τρόπον ἔλαβε τὴν νομὴν αὐτοῦ.

41. Ὁ λαβὼν καὶ ὄχι ὁ ὑπονοῶν ὅτι ἔλαβε δωρεὰν κυριεύει διὰ τῆς πολυχρονίου νομῆς.

42. Τὸ δωρηθὲν πρός με ἀπὸ τὸν πατέρα οὐδὲ μετὰ θάνατον αὐτοῦ δὲν κυριεύω διὰ τῆς πολυχρονίου νομῆς· διότι ἡ δωρεὰ δὲν ἰσχύει διὰ τὴν ὑπεξουσιότητα.

43. Κατὰ τὴν διάταξιν ὅλα τὰ πράγματα, εἰ μὲν εἶναι κινητὰ ἢ αὐτοκίνητα, κυριεύονται διὰ τῆς τριετοῦς νομῆς· εἰ δὲ ἀκίνητα, διὰ τῶν δέκα καὶ εἴκοσι ἐτῶν· δέκα μὲν ὅταν ἐνδημῇ ὁ κύριος, εἴκοσι δὲ ὅταν ἀποδημῇ.

44. Ἐάν τις κρατῶν κοινὸν πρᾶγμα τὸ νεμηθῇ ἐξ ὁλοκλήρου δέκα ἢ εἴκοσιν ἔτη, δὲν ἔχει χρείαν τῆς πολυχρονίου παραγραφῆς· διότι ἀποκλείει μὲ μόνην τὴν τριακονταετίαν.

45. Ὁ εἰξεύρων ὅτι ἔχει κοινὸν ἀγρὸν μὲ ἄλλον καὶ λαμβάνων τοὺς καρποὺς ἀκουσίως ἢ κατ' ἄγνοιαν τοῦ συντρόφου τούτων κύριος δὲν γίνεται, εἰμὴ κατὰ τὸ ἀναλογοῦν εἰς αὐτὸν μέρος, ὁποιοδήποτε καὶ ἂν τοὺς ἔσπειρε· διότι οἱ καρποὶ δὲν ἀκολουθοῦσι τὸν σπόρον, ἀλλὰ τὴν γῆν· καὶ ὁ κακῆς πίστεως νομεὺς δὲν κυριεύει τοὺς καρποὺς μὲ οἱονδήποτε τρόπον καὶ ἂν ἐσπάρησαν.

46. Ὁ ἀγοράσας κατὰ καλὴν πίστιν ἀπὸ κακῆς πίστεως νομέα δύναται νὰ κυριεύσῃ διὰ χρήσεως τὸ πρᾶγμα.

47. Ἐάν τις νεμηθῇ τέσσαρα ἔτη δημόσιον πρᾶγμα, ἔχει κατὰ τοῦ δημοσίου τῆς τετραετίας τὴν παραγραφήν.

48. Ὅταν τὸ γεωργηθὲν καὶ σπαρὲν χωράφιον ἐκνικᾶται, δὲν δύναται ὁ νομεὺς αὐτοῦ νὰ πάρῃ τὸν σπόρον.

49. Τὸ εὑρισκόμενον πρᾶγμα ἀπὸ ναυάγιον ἢ χύσιν πλοίου δὲν κυριεύεται διὰ χρονίας χρησεως· διότι δὲν εἶναι ἀδέσποτον.

50. Ὁ λαβὼν ἀπὸ ἄλλον πρᾶγμα εἴτε μὲ βίαν εἴτε κρυφίως εἴτε κατὰ παράκλησιν νικᾷ σε ἐνάγοντα· ὄχι ὅμως καὶ ἂν ἔλαβε τοῦτο παρὰ σοῦ, διότι τὸ νέμεται ἀπὸ σέ. Ὡς πρὸς ἄλλους δέ, εἴτε δικαίως εἴτε ἀδίκως νέμεται, προτιμᾶται ἀπὸ τὸν μὴ νεμόμενον.

51. Ἐὰν ὁ γείτων τὸν σαθρωθέντα οἶκον αὐτοῦ καὶ ἀπειλοῦντα πτῶσιν, μὴ ἀνανεοῖ, μηδὲ ἀσφαλίζηταί με, τοῦ μή τινα καινοτομίαν παθεῖν ἐξ αὐτοῦ, πέμπομαι εἰς νομήν.

52. Ὁ ἀκληρονόμητα πράγματα νεμηθεὶς ἐπὶ τέσσαρας ἐνιαυτοὺς ἔχει κατὰ τοῦ δημοσίου παραγραφήν.

53. Ὁ τὸν οἱονδήποτε ἀγρὸν νεμηθεὶς τεσσαράκοντα ἔτη οὐκέτι ἐνάγεται, εἰ μὴ εἰς τὸ δοῦναι τὸν κανόνα. (Β. L. 14. 7.)

54. Περὶ προθύρων θκλαττίων ἡ τριακοστὴ Νεαρὰ τοῦ Καίσαρος Λέοντός φησιν ὥστε δεσπόζειν ἕκαστον τοῦ παρακειμένου αὐτῷ· καὶ κύριον εἶναι τοῦ εἴ τινες βουληθεῖεν χωρὶς τῆς αὐτοῦ ἐπιτροπῆς τῆς τῶν προθύρων ἀπολαύειν ὠφελείας ἐκδιώκειν.

55. Ὁ κατὰ παράδοσιν λαβὼν παρὰ τοῦ δεσπότου ἐξ εὐλόγου αἰτίας, καὶ μὴ διὰ χρήσεως δεσπόσας ἔχει τὴν πουβλικιανήν· ὁ γὰρ διὰ χρήσεως δεσπόσας ἔχει τὴν πολιτικήν (*).

56. Τῷ κατ' εὔλογον αἰτίαν λαβόντι πρᾶγμα καὶ ἐκπεσόντι δίδοται ἡ πουβλικιανή (**). (Β. XV. 2. 1.)

57. Ἐὰν ἀπὸ προικὸς λάβῃ τις ἀλλότριον πρᾶγμα, δύναται αὐτὸ διὰ χρήσεως δεσπόζειν· ταῦτα δὲ ἐπὶ τῶν κινητῶν δηλονότι, ἐπειδήπερ ἐπὶ τῶν ἀκινήτων οὐκ εὐχερῶς τὸ ἐλάττωμα διαβαίνει διὰ τὸ μὴ γίνεσθαι ἐν αὐτοῖς κλοπήν. (Β. L. 8. 3.)

58. Πουβλικιανή ἐστιν, ἡ ἀνακαλουμένη τὴν νομὴν τῷ μήπω διὰ κυριότητα δεσπόσαντι καλῇ πίστει νομεῖ.

59. Ἡ πουβλικιανὴ μίμησιν ἔχει δεσποτείας καὶ οὐ ψιλῆς νομῆς. (Β. XV. 2. 7.)

(*) Καθὼς ἀπὸ ἀγορασίαν, κληροδοσίαν, ἢ δωρεὰν κατὰ λόγον θανάτου, ἀπὸ προῖκα, κρίσιν, καταβολὴν γενομένην ἔξω δικαστηρίου, ἀπὸ κακωτικὴν αἰτίαν, ἀπὸ τὴν παράδοσιν τοῦ δικαστοῦ, ἀπὸ συμβιβαστικὴν τῆς διαφορᾶς ἐκτίμησιν· καὶ ἁπλῶς, ἀπὸ ὅσας αἰτίας ἡ κυριότης τοῦ πράγματος μεταβαίνει εὐθὺς ἀπὸ τὸν πρώην κύριον εἰς τὸν λαβόντα. Εἰ δὲ ὁ κατέχων πρότερον τὸ πρᾶγμα δὲν ἦτον ἀληθὴς κύριος, ὁ λαβὼν ἐκπίπτων ἀπὸ τὴν κυριότητα τούτου κινεῖ τὴν πουβλικιανὴν ἀγωγήν.

51. Ἐὰν ὁ γείτων δὲν ἀνακαινίζῃ τὴν σαθρὰν καὶ κινδυνεύουσαν νὰ πέσῃ οἰκίαν του, οὐδὲ μὲ ἀσφαλίζῃ, μήπως ἀπὸ τὴν πτῶσιν της πάθω καινοτομίαν τινὰ, πέμπομαι εἰς νομήν.

52. Ὁ νεμηθεὶς τέσσαρα ἔτη ἀκληρονόμητα πράγματα ἔχει κατὰ τοῦ δημοσίου παραγραφήν.

53. Ὁ νεμηθεὶς τεσσαράκοντα ἔτη ὁποιονδήποτε ἀγρὸν δὲν ἐνάγεται πλέον, εἰ μὴ διὰ νὰ δώσῃ τὸν κανόνα.

54. Περὶ θαλασσίων προθύρων ἡ τοῦ Καίσαρος Λέοντος λ'. νεαρὰ λέγει ὅτι κυριεύει ἕκαστος τὸν παρακείμενον τόπον εἰς τὰ πρόθυρά του· καὶ εἶναι κύριος νὰ ἀποδιώκῃ τοὺς θέλοντας χωρὶς τὴν ἄδειάν του νὰ ὠφελῶνται ἀπὸ αὐτά.

55. Ὁ εὐλόγως λαβὼν κατὰ παράδοσιν ἀπὸ ἄνθρωπον ὅστις δὲν εἶναι κύριος, καὶ μὴ κυριεύσας διὰ χρήσεως ἔχει τὴν δημοτικὴν ἀγωγήν· διότι ὁ κυριεύσας διὰ χρήσεως ἔχει τὴν πολιτικήν.

56. Ἡ δημοτικὴ ἀγωγὴ δίδεται εἰς τὸν λαβόντα εὐλόγως πρᾶγμα καὶ ἐκπεσόντα ἀπὸ τὴν κυριότητα αὐτοῦ.

57. Ἐὰν ἀπὸ προῖκα λάβῃ τις ἀλλότριον πρᾶγμα, δύναται νὰ τὸ κυριεύσῃ διὰ χρήσεως· ταῦτα δὲ κρατοῦσιν εἰς τὰ κινητὰ, διότι εἰς τὰ ἀκίνητα τὸ ἐλάττωμα δὲν διαβαίνει εὐκόλως ὡς κλοπῆς μὴ γινομένης εἰς αὐτά.

58. Δημοτικὴ ἀγωγὴ εἶναι ἐκείνη, ἥτις ἀνακαλεῖ τὴν νομὴν εἰς τὸν καλῆς πίστεως νομέα ὅστις δὲν εἶναι ἀκόμη τέλειος κύριος.

59. Ἡ δημοτικὴ ἀγωγὴ ἔχει μίμησιν κυριότητος καὶ ὄχι ψιλῆς νομῆς.

(**) Εἰς τὴν παροῦσαν ἀγωγὴν, ἐπειδὴ ἡ κυριότης δὲν ἀρμόζει ἐξαρχῆς εἰς τὸν νομέα, ἀλλὰ προσαποκτᾶται μὲ τὴν χρονίαν νομὴν, ἀνάγκη ἡ νομὴ νὰ ἦναι ἀδιάκοπος· διότι καὶ μίαν ἡμέραν ἐὰν δὲν νεμηθῇ, ἡ νομὴ λογίζεται ὅτι μεταβαίνει εἰς τὸν ἀληθῆ κύριον καὶ μὲ τὴν διακοπὴν ἀνανεόνει τὴν κυριότητα.

60. Ἐπὶ τῆς χρονίας νομῆς καὶ ὁ χρόνος τοῦ προκτήτορος συμψηφίζεται. (B. L. 11. 11.)

61. Οἱ τῶν ἱερῶν ναῶν τόποι, καὶ κατενεχθέντων τῶν ναῶν, οὐδὲν ἧττόν εἰσιν ἱεροὶ καὶ ἀδέσποτοι· ὁ γὰρ ἅπαξ γενόμενος ἱερὸς τόπος οὐδενὶ τρόπῳ παύεται τοῦ ἱερὸς εἶναι. (B. XLVI. 3. 5.)

62. Ἐπὶ τῶν τάφων οὐ συμβάλλεται χρονία νομὴ τῷ μὴ ἔχοντι δίκαιον. (B. LIX. 2. 4.)

63. Οὐκ ἐστι κακῇ πίστει νομεὺς ὁ δεδωκὼς τὸ τίμημα.

64. Ὁ κατὰ κέλευσιν ἀρχοντικὴν ἀγοράσας καλῇ πίστει νομεύς ἐστιν. (B. II. 3. 137.)

65. Ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἐστὶν ὁ νεμόμενος. (B. II 3. 128.)

66. Ὁ ὅλῳ παυσάμενος νέμεσθαι, ὡς νεμόμενος καταδικάζεται. (B. II. 3. 131.)

ΤΙΤΛ. Β'. — Περὶ ἀναργυρίας.

1. Ἀναργυρία λέγεται, ὅταν τις γράψας οἰκειοχείρως καὶ ὁμολογήσας λαβεῖν ἀργύριον ἢ νομίσματα ἢ οὐδὲ ὅλως ἔλαβεν, ἅπερ λαβεῖν ἐγγράφως καθωμολόγησεν, ἢ ἔλαβε μὲν μέρος, οὐ μὴν τόσα, ὅσα λαβεῖν αὐτὸς διὰ ἰδίου γράμματος ὡμολόγησεν.

2. Οὐ μόνον ὁ μηδὲν λαβὼν ἐξ ὧν ἐχειρογράφησεν, ἀντιτίθησιν ἀναργυρίαν, ἀλλὰ καὶ ὁ πλείονα, ὧν ἔλαβε, χειρογραφήσας. (B. XXIII. 1. 64.)

3. Ὁ ἐπιγνοὺς τὴν τοῦ γραμματείου πίστιν καὶ ἅπαξ ἀξιάμενος καταβάλλειν δακεῖ ἐπιγινώσκειν τὴν ἀπαρίθμησιν καὶ οὐκ ἔχει τὴν τῆς ἀναργυρίας παραγραφήν. (B. XXIII. 1. 66.)

4. Ὁ λέγων ὅτι οὐ γέγονεν ἀρίθμησις, εἰ μὴ ἐντὸς διετίας ἢ ἐναχθῇ ἢ διαμαρτύρηται περὶ τούτου, οὐδεμίαν ἔχει δικαιολογίαν. (B. XXIII. 1. 72.)

5. Ἐὰν ἐγράφη μὲν ἐν τῷ προικῴῳ συμβολαίῳ ποσότης προικὸς μὴ ἀπεδόθη δὲ, ἔξεστι καὶ τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ καὶ τῷ τοῦ ἀνδρὸς πατρὶ, εἰ συνυπεδέξατο τὴν προῖκα, καὶ

60. Εἰς τὴν χρονίαν νομὴν προσλογίζεται καὶ ὁ χρόνος τοῦ προκτήτορος.

61. Οἱ τόποι τῶν ἱερῶν ναῶν, καὶ ἀφοῦ πέσωσιν οἱ ναοὶ, μένουσιν ἐπίσης ἱεροὶ καὶ ἀκυρίευτοι· διότι ὁ γενόμενος ἅπαξ ἱερὸς τόπος δὲν παύει κατ' οὐδένα τρόπον νὰ ἦναι ἱερός.

62. Εἰς τοὺς τάφους ἡ χρονία νομὴ δὲν συμβάλλει τὸν μὴ ἔχοντα δικαίωμα.

63. Ὁ δώσας τὸ τίμημα δὲν εἶναι κακῆς πίστεως νομεύς.

64. Ὁ ἀγοράσας κατὰ δικαστικὴν προσταγὴν εἶναι καλῆς πίστεως νομεύς.

65. Εἰς ἴσην αἰτίαν προτιμᾶται ὁ νομεύς.

66. Ὁ κατὰ δόλον παύσας νὰ νέμηται καταδικάζεται ὡς νομεύς.

ΤΙΤΛ. Β'. — Περὶ ἀναργυρίας.

1. Ἀναργυρία λέγεται, ὅταν γράψας τις ἰδιοχείρως καὶ ὁμολογήσας παραλαβὴν ἀργυρίου ἢ νομισμάτων ἢ δὲν ἔλαβε ποσῶς, ὅσων τὴν παραλαβὴν ἐγγράφως ὡμολόγησεν, ἢ ἔλαβε μὲν μέρος, ὄχι ὅμως τόσα, ὅσα διὰ τοῦ ἐγγράφου του ὡμολόγησεν ὅτι ἔλαβεν.

2. Ἀντιθέτει ἀναργυρίαν, ὄχι μόνον ὁ μὴ λαβὼν τίποτε, ἀπὸ ὅσα ἰδιοχείρως ἔγραψεν, ἀλλὰ καὶ ὁ γράψας πλειότερα ἀπὸ ὅσα ἔλαβεν.

3. Ὁ γνωρίσας τὴν πίστιν τῆς ὁμολογίας καὶ ἀρχίσας ἅπαξ νὰ καταβάλλῃ φαίνεται ὅτι ἀναγνωρίζει τὴν παραλαβὴν τῶν νομισμάτων καὶ δὲν ἔχει τῆς ἀναργυρίας τὴν παραγραφήν.

4. Ὁ λέγων ὅτι δὲν ἔγεινεν ἀρίθμησις, ἐὰν ἐντὸς διετίας ἢ δὲν ἐνάξῃ ἢ δὲν διαμαρτυρηθῇ περὶ τούτου, δὲν ἔχει καμμίαν δικαιολογίαν.

5. Ἐὰν ἐγράφη εἰς τὸ προικοσύμφωνον ποσότης προικὸς δὲν ἐδόθη ὅμως, δύναται καὶ ὁ ἀνὴρ καὶ οἱ κληρονόμοι αὐτοῦ καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς, ἂν συναπεδέχθη τὴν προῖκα, καὶ οἱ κληρονό-

τοῖς κληρονόμοις αὐτοῦ καὶ ἁπλῶς παντὶ προσώπῳ τὴν προῖκα αἰτουμένῳ ἀντιτιθέναι τῇ γυναικὶ καὶ τοῖς αὐτῆς κληρονόμοις ἀναργυρίαν εἴσω ἐνιαυτοῦ, ἀριθμουμένου συναπτῶς μετὰ τὴν λύσιν τοῦ γάμου.

6. Τῆς προικὸς μὴ ἐπιδοθείσης ἐν συνεστῶσι τῷ γάμῳ, εἰ μὲν πρὸ τῆς τριετίας τελευτήσῃ ὁ ἀνήρ, οὐδεμίαν μέμψιν ἔχει μὴ ἐπιζητήσας τὴν προῖκα· εἰ δὲ ἐπέζησεν ἐν τῷ γάμῳ ἀνήλικος ὢν ἕως δεκαετίας, αὐτὸς ὑπόκειται ἐκ τῶν ἰδίων καὶ ὅθεν δύναται πληροῦν τῇ γυναικὶ τὴν προῖκα· εἰ δὲ ἀνήλικος ἦν ἐν συνεστῶτι τῷ γάμῳ, μετὰ τὴν ἐνηλικιότητα ἐχέτω δεκαετίαν· εἰ δὲ μηδὲ τότε ἀπαιτήσῃ τὴν προῖκα, πάλιν αὐτὸς ὑποκείσθω τῇ γυναικί. Εἰ δὲ μήτε κατὰ δεκαετίαν ἀπαιτήσῃ, ἐν ὅλῃ συστάσει τοῦ γάμου ἐνήλικος ὢν ἢ μετὰ τὴν ἐνηλικιότητα καὶ τὴν προσθήκην τῆς δεκαετίας μηδὲν ἀπαιτήσας τελευτήσῃ, πρὸς τοὺς κληρονόμους αὐτοῦ ἔστω ἡ ζημία· εἰ δὲ ἐλλιποῦς τοῦ χρόνου ὄντος τῆς δεκαετίας, εἴτε τοῦ ἀπὸ τῆς ἀρχῆς τοῦ γάμου, ἐνηλίκου ὄντος, εἴτε τοῦ ἀπὸ τῆς ἐνηλικιότητος προκόψαντος εἰς τὸν ἐνήλικον χρόνον, συμπληρούσθωσαν μετὰ θάνατον αὐτοῦ οἱ εἰρημένοι χρόνοι· καὶ τότε οἱ κληρονόμοι αὐτοῦ, εἰ μὲν ἐνήλικοί εἰσι, τριμήνου διάσκεψιν λαμβάνοντες, καταβαλλέτωσαν τῇ γυναικὶ τὴν προῖκα. Εἰ δὲ ἀνήλικοι ὑπάρχουσι, τελειούμενοι καὶ αὐτοὶ κατὰ τὴν ἡλικίαν ἐχέτωσαν πρὸς διάσκεψιν διετίας χρόνον, καὶ εἶθ' οὕτω χρεῶσται καὶ ὑποκείμενοι διδόναι τὴν προῖκα τῇ γυναικὶ καταλογιζέσθωσαν. Ἐὰν δὲ οὐ βούλωνται τοὺς ὑποσχομένους τὴν προῖκα ἀπαιτεῖν, κἀκεῖθεν ἀποκαθιστᾷν τὸ δίκαιον τοῖς χρεωστουμένοις, ἄρα ἔχουσιν ἐξουσίαν.

7. Ἡ διαφορὰ τοῦ μηδὲ ὅλως κινεῖσθαι τὴν περὶ προικὸς ἀναργυρίαν μετὰ τὴν ἀποληπτικὴν ἀπόδειξιν καὶ τοῦ ἐντὸς δέκα ἐνιαυτῶν κινεῖσθαι, αὕτη ἐστίν· ὅτε μὲν γὰρ τὸ κατ' εἶδος τῆς προικὸς ῥητῶς ἐμφέρεται τῇ ἀποδείξει, παρευθὺς ἀποκέκλεισται τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ ἡ περὶ τῆς ἀναργυρίας παραγραφή·

μοι αὐτοῦ καὶ ἁπλῶς πᾶν πρόσωπον ἀπαιτούμενον τὴν προῖκα νὰ ἀντιθέτῃ εἰς τὴν γυναῖκα καὶ τοὺς κληρονόμους αὐτῆς ἀναργυρίαν ἐντὸς ἔτους, λογίζεται δὲ τὸ ἔτος συναπτῶς μετὰ τὴν διάλυσιν τοῦ γάμου.

6. Ὅταν τοῦ γάμου συνεστῶτος δὲν ἐπιδοθῇ ἡ προῖξ, εἰ μὲν πρὸ τριετίας ἀποθάνῃ ὁ ἀνὴρ, δὲν ἐνοχοποιεῖται, διότι δὲν ἐπεζήτησε τὴν προῖκα· εἰ δὲ ἐνήλικος ὢν ἐπέζησεν εἰς τὸν γάμον ἕως δέκα ἔτη, αὐτὸς ὑποχρεοῦται νὰ καταβάλῃ εἰς τὴν γυναῖκα τὴν προῖκα ἀπὸ τὰ ἰδικά του καὶ ὅθεν ἠμπορεῖ· εἰ δὲ τοῦ γάμου συνεστῶτος ἦτον ἀνήλικος, ἔχει τὴν δεκαετίαν μετὰ τὴν ἐνηλικίωσιν· ἐὰν ὅμως οὐδὲ τότε ἀπαιτήσῃ τὴν προῖκα, ὑποχρεοῦται πάλιν αὐτὸς πρὸς τὴν γυναῖκα. Εἰ δὲ εἰς ὁλόκληρον τοῦ γάμου τὴν σύστασιν εἶναι ἐνήλικος, καὶ οὐδὲ κατὰ τὴν δεκαετίαν ἀπαιτήσῃ τὴν προῖκα ἢ μετὰ τὴν ἐνηλικίωσιν καὶ τὴν προσθήκην τῆς δεκαετίας ἀποθάνῃ χωρὶς νὰ ἀπαιτήσῃ τίποτε, ζημιοῦνται οἱ κληρονόμοι αὐτοῦ· εἰ δὲ ὁ χρόνος τῆς δεκαετίας εἶναι ἐλλειπὴς, εἴτε ἀπὸ τὴν ἀρχὴν τοῦ γάμου, ὅταν ὁ ἀνὴρ ἦναι ἐνήλικος, εἴτε ἀφοῦ μεταβῇ ἀπὸ τὴν ἐνηλικιότητα εἰς τῆς ἐνηλικιότητος τὸν χρόνον, τὰ προλεχθέντα ἔτη συμπληροῦνται μετὰ θάνατον αὐτοῦ· καὶ τότε οἱ κληρονόμοι αὐτοῦ, ἐὰν ἦναι ἐνήλικοι, λαμβάνοντες τριμηνίαν πρὸς διάσκεψιν, καταβάλλουσιν εἰς τὴν γυναῖκα τὴν προῖκα· εἰ δὲ εἶναι ἀνήλικοι, μετὰ τὴν ἐνηλικίωσιν ἔχουσι καὶ αὐτοὶ διετίας χρόνον πρὸς διάσκεψιν, καὶ μετὰ ταῦτα λογίζονται χρεῶσται καὶ ὑπόχρεοι νὰ καταβάλωσι τὴν προῖκα εἰς τὴν γυναῖκα. Ἐὰν ὅμως δὲν θέλωσι νὰ ἀπαιτήσωσι τοὺς ὑποσχεθέντας τὴν προῖκα, καὶ ἀπὸ αὐτὴν νὰ ἀποδώσωσι τὸ δίκαιον εἰς τοὺς χρεωστουμένους, ἔχουσιν ἀναμφιβόλως ἐξουσίαν τοῦ τοιούτου.

7. Ἡ διαφορὰ τοῦ νὰ μὴ κινῆται ποσῶς ἡ περὶ τῆς προικὸς ἀναργυρία μετὰ τῆς παραλαβῆς τὴν ἀπόδειξιν καὶ τοῦ νὰ κινῆται ἐντὸς δεκαετίας, εἶναι αὕτη. Ὅταν τὸ εἶδος τῆς προικὸς περιέχηται ῥητῶς εἰς τὴν ἀπόδειξιν, ἀποκλείεται εὐθὺς εἰς τὸν ἄνδρα καὶ εἰς τοὺς κληρονόμους αὐτοῦ τῆς ἀναργυρίας ἡ παραγρα-

ὅτε δὲ καθ' ὁμάδα δηλοῦται ἐν ταύτῃ, ὡς τὴν προῖκα πᾶσαν εἴη λαβεῖν, τὰς δέκα τυχὸν ἢ εἴκοσι λίτρας, τότε ἡ δεκαετία ταύτοις εἰς παραγραφὴν τῆς ἀναργυρίας ἐφήπλωται.

8. Ἡ διάταξις κελεύει ἐν τοῖς συναλλάγμασιν, ἐν οἷς χρήματα ἢ ἄλλα πράγματα ἀριθμηθέντα συνεγράφησαν, εἶσω δύο ἐνιαυτῶν συναπτῶν τὴν τῆς ἀναργυρίας ἀντιτιθέναι διαμαρτυρίαν· ὅσοι δὲ πρότερον ἐβοηθοῦντο διά τινας αἰτίας ἰδικῶς τοῖς νόμοις ἐκπερωνημένας τῆς πενταετίας παραδραμούσης, τούτους καὶ νῦν βούλεται βοηθεῖσθαι. Κελεύει δὲ κατὰ ὁμολογίας, ἐν ᾗ τις κατέθετο παρακαταθήκην εἰληφέναι, ἢ ἀποδείξεως περὶ δημοσίων γενομένης, ἢ κατὰ ὁμολογίας ἀποληπτικῆς ἐπὶ προικὶ συντελεσθείσης, ἀναργυρίαν μὴ εἶναι· κατὰ δὲ πάσης ἄλλης ἀποδείξεως τὴν ἀναργυρίαν ἀντιτιθέναι· ἐν οἷς δὲ οὐκ ἔστιν ἀναργυρίαν ἀντιτιθέναι ἢ ἐντὸς τριάκοντα ἡμερῶν μόνον ἀντιτιθέναι, μηδὲ ὅρκος ἐπιφερέσθω (*). (Β. XXIII. 1. 76).

9. Εἶσω μὲν διετίας τοῦ γάμου διαλυθέντος, εἴτε θανάτῳ εἴτε διαζυγίῳ, καὶ αὐτῷ τῷ ἀνδρὶ τὰ τῆς ἀναργυρίας ἔξεστι μέμφεσθαι, καὶ τῷ γε αὐτοῦ κληρονόμῳ εἶσω ἑτέρου ἐνιαυτοῦ. Εἰ δὲ ὑπὲρ διετίαν ἄχρι δέκα ἐνιαυτῶν ὁ γάμος ἐκταθείη, τῷ ἀνδρὶ δίδομεν τὴν μέμψιν καὶ τῷ γε αὐτοῦ κληρονόμῳ μηνῶν εἶσω τριῶν· Εἰ δὲ παραδράμῃ ἡ δεκαετία, οὐδὲ τῷ ἀνδρὶ οὐδὲ τοῖς κληρονόμοις αὐτοῦ τὰ τῆς μέμψεως ἔσται, εἰ μὴ ἀφήλιξ ἦν ὁ ἀνήρ· τότε γὰρ δωδεκαετία δίδοται αὐτῷ ἐκ τοῦ καιροῦ τῶν γάμων· καὶ εἰ συμβῇ τελευτῆσαι αὐτὸν ἐντὸς τῆς δωδεκαετίας, τοῖς κληρονόμοις ἔχειν τὸν ἐνιαυτὸν εἰς τὴν μέμψιν· εἰ δὲ καὶ οὗτοι ἀφήλικές εἰσι, πενταετία αὐτοῖς δίδοται μετὰ τὴν λύσιν τῶν γάμων.

10. Αἱ γινόμεναι ἀμεριμνίαι παρὰ τῶν δανειστῶν περὶ χρεῶν καθολικαὶ ἢ ἐκ μέρους, ἀπὸ τοῦ κεφαλαίου ἢ ἀπὸ τοῦ τόκου ἢ ἄλλου οἱουδήποτε συναλλάγματος ἕνεκεν, ἐν ᾧ ἀριθμησις χρη-

(*) Σημείωσαι, ὅτι ὁσάκις ὁ ἐναγίμενος ἀρνεῖται ὅλον τὸ χρέος, τότε ὀφείλει νὰ ἀποδείξῃ τὴν ἀρίθμησιν τοῦ χρέους ὁ δανειστής· ὅταν δὲ λέγῃ ὅτι ὁ δανειστὴς μέρος ἔλαβε καὶ μέρος χρεωστεῖται, τότε τὸ βάρος τῆς ἀ-

φῆ· ὅταν δὲ δηλοποιῆται εἰς αὐτὴν γενικῶς, ὅτι ἔλαβε τὴν προῖκα ὅλην, δέκα λόγ. χ. ἢ εἴκοσι λίτρας, τότε δίδεται εἰς τούτους ἡ δεκαετία πρὸς παραγραφὴν τῆς ἀναργυρίας.

8. Κατὰ τὴν διάταξιν εἰς ὅσα συναλλάγματα γράφεται, ὅτι ἠριθμήθησαν χρήματα ἢ ἄλλα πράγματα, τῆς ἀναργυρίας ἡ διαμαρτύρησις ἀντιθέτεται ἐντὸς δύο συναπτῶν ἐτῶν. Ὅσοι δὲ πρότερον δι' αἰτίας τινὰς ὡρισμένας εἰδικῶς ἀπὸ τοὺς νόμους ἐβοηθοῦντο καὶ μετὰ παρέλευσιν τῆς πενταετίας, οὗτοι βοηθοῦνται καὶ τὴν σήμερον. Κατὰ δὲ ὁμολογίας, εἰς τὴν ὁποίαν ἐγράφη ὅτι ἔλαβέ τις παρακαταθήκην, ἢ κατὰ ἀποδεικτικοῦ γενομένου περὶ δημοσίων ὑπηρεσιῶν, ἢ κατὰ ἀποδείξεως παραλαβῆς διὰ προῖκα, ἀναργυρία δὲν ὑπάρχει· κατὰ παντὸς δὲ ἄλλου ἀποδεικτικοῦ ἀντιθέτεται ἡ ἀναργυρία. Εἰς ὅσα ὅμως ἀναργυρία δὲν ἀντιθέτεται ἢ ἀντιθέτεται μόνον ἐντὸς τριάκοντα ἡμερῶν, δὲν ἐπιφέρεται οὐδὲ ὅρκος.

9. Ἐὰν ἐντὸς διετίας διαλυθῇ ὁ γάμος, εἴτε ἀπὸ θάνατον, εἴτε μὲ διαζύγιον, περὶ ἀναργυρίας δύναται νὰ μέμφηται καὶ αὐτὸς ὁ ἀνὴρ, καὶ ὁ κληρονόμος αὐτοῦ ἐντὸς ἄλλου ἑνὸς ἔτους. Εἰ δὲ ὁ γάμος ἐκταθῇ ὑπὲρ τὴν διετίαν ἕως δέκα ἔτη, ἡ μέμψις δίδεται εἰς τὸν ἄνδρα καὶ εἰς τὸν κληρονόμον αὐτοῦ ἐντὸς τριῶν μηνῶν. Εἰ δὲ παρέλθῃ ἡ δεκαετία, δὲν δύναται νὰ μέμφηται οὔτε ὁ ἀνὴρ, οὔτε οἱ κληρονόμοι αὐτοῦ, ἐκτὸς ἂν ὁ ἀνὴρ ἦτον ἀνήλικος· διότι τότε δίδονται εἰς αὐτὸν δώδεκα ἔτη ἀπὸ τὸν καιρὸν τοῦ γάμου· καὶ ἐὰν ἐντὸς τῆς δωδεκαετίας συμβῇ νὰ ἀποθάνῃ αὐτὸς, ἔχουσι τὸν χρόνον πρὸς μέμψιν οἱ κληρονόμοι· εἰ δὲ καὶ οὗτοι εἶναι ἀνήλικοι, δίδεται εἰς αὐτοὺς πενταετία μετὰ τοῦ γάμου τὴν διάλυσιν.

10. Αἱ περὶ χρεῶν ἀμεριμνίαι ὅσας κάμνουσιν οἱ δανεισταὶ εἰς τὸ ὅλον ἢ εἰς μέρος, διὰ τὸ κεφάλαιον ἢ διὰ τὸν τόκον ἢ δι' ὁποιονδήποτε ἄλλο συνάλλαγμα, εἰς τὸ ὁποῖον γράφεται ἀρίθμησις

ποδείξεως πίπτει εἰς τὸν χρεώστην αὐτόν· καὶ τοῦτο πολλὰ δικαίως, διότι ἀγωνίζεται μὲ πρόληψιν, ὡς ἤδη γράψας ἰδιοχείρως ὅτι χρεωστεῖ.

μάτων ἢ δόσεως ῥητῶν εἰδῶν γέγραπται, εἴσω τριάκοντα ἡμερῶν μόνον μετὰ τὴν τῆς τοιαύτης ἀμερημνίας ἔκθεσιν ἀριθμουμένων τὴν παραγραφὴν τῆς ἀναργυρίας δύναται ἀντιτιθέναι· μετὰ γὰρ τὴν παρέλευσιν αὐτῶν παύεται τοιαύτη παραγραφὴ, καὶ οὐδὲ ὅρκος ἐν τούτοις μετὰ τὸν τοιοῦτον χρόνον ἐπιφέρεται. (B. XXIII. 1. 66.)

11. Οὐ δύναται ὁ δημοσιεύων ἀναργυρίαν ἀντιτιθέναι κατὰ τῆς γενομένης παρ' αὐτοῦ ἀποδείξεως καὶ νῦν προφερομένης. (B. LVI. 8. 30.) (*)

ΤΙΤΛ. Γ'. Περὶ Ἀπαιτήσεως καὶ Ἀπωλείας.

1. Πᾶν διδόμενον ἢ διὰ πρᾶγμα δίδοται, ἢ δι' αἰτίαν· τὸ δὲ δι' αἰτίαν, ἢ σεμνὴν, ἢ αἰσχράν· καὶ ἡ αἰσχρότης ἢ τοῦ δίδοντος μόνον ἐστὶν, ἢ τοῦ λαμβάνοντος, ἢ ἑκατέρων. Τὸ μὲν οὖν ἐπὶ σεμνῷ πράγματι δοθὲν τότε ἀναλαμβάνεται, ὅτε μὴ γένηται· οἷον δέδωκέ τίς τινι νομίσματα ἵνα ἐλευθερώσῃ δοῦλον ἴδιον, ἢ ἵνα παραιτήσηται κληρονομίαν ἢ ληγάτα· καὶ ἐὰν μὲν μὴ πληρώσῃ ταῦτα, ἀπαιτεῖται ἃ ἔλαβεν· εἰ δὲ ἡ αἰσχρότης ἐστὶ τοῦ λαμβάνοντος, κἂν ἐποίησε τὸ πρᾶγμα ἐφ' ᾧ ἔλαβεν, ἀποδίδωσιν· ὡς ἔνθα τις λάβοι ἐπὶ τῷ μὴ φονεῦσαι, ἢ ἱεροσυλῆσαι ἢ ἐπὶ τῷ δοῦναι παρακαταθήκην ἢ δικαίωμα· τότε γὰρ εἰ καὶ τάχα ἐποίησε, καθὰ συνεφώνησεν, ἀλλ' ἀπαιτεῖται ὃ ἔλαβε, διὰ τὸ ἐπ' ἀδίκῳ καὶ αἰσχρῶς τοῦτο λαβεῖν. Εἰ δὲ καλὴν δίκην ἔχων παράσχω τῷ δικαστῇ ἐπὶ τῷ ὑπὲρ ἐμοῦ ψηφίσασθαι, οὐκ ἀναλαμβάνω· ἔγκλημα γὰρ πλημμελῶ τὸν δικαστὴν ὑποφθείρων καὶ ἐκπίπτω τῆς δίκης. (R. XXIV. 2. f.)

(*) Ἐκ τούτων ἕπεται, ὅτι ἡ ἀναργυρία κινεῖται εἰς μὲν τὰ συναλλάγματα ἐντὸς δύο ἐτῶν, εἰς δὲ ἀμεριμνίας, τὰς ὁποίας κάμνουσιν οἱ δανεισταὶ εἰς βάρος τῶν χρεωστῶν, ἐντὸς τριάκοντα ἡμερῶν, εἰς δὲ ἀποδείξεις παρακαταθήκης ἢ δημοσίων ἀναργυρία δὲν ὑπάρχει. Δὲν δύναται ὡσαύτως

χρημάτων ἢ δόσεως ῥητῶν εἰδῶν, δύνανται νὰ ἀντιθέτωσιν τῆς ἀναργυρίας τὴν παραγραφὴν ἐντὸς τριάκοντα μόνον ἡμερῶν λογιζομένων μετὰ τὴν ἔκθεσιν τῆς τοιαύτης ἀμεριμνίας· διότι μετὰ τὴν παρέλευσιν αὐτῶν παύει ἡ τοιαύτη παραγραφὴ, καὶ οὐδὲ ὅρκος ἐπιφέρεται εἰς αὐτοὺς μετὰ τὸν τοιοῦτον χρόνον.

11. Ὁ ὑπουργῶν εἰς τὰ δημόσια δὲν δύναται νὰ ἀντιθέτῃ ἀναργυρίαν κατὰ τῆς ἀποδείξεως τὴν ὁποίαν ἔκαμε καὶ σήμερον προβάλλει.

ΤΙΤΛ. Γ'. Περὶ ἀπαιτήσεως καὶ ἀπωλείας.

1. Πᾶν διδόμενον ἢ διὰ πρᾶγμα δίδεται, ἢ διὰ αἰτίαν· καὶ τοῦτο δι' αἰτίαν, ἢ σεμνὴν, ἢ αἰσχράν· ἡ δὲ αἰσχρότης εἶναι ἢ τοῦ δίδοντος, ἢ τοῦ λαμβάνοντος, ἢ ἀμφοτέρων. Ὅ,τι λοιπὸν δίδεται διὰ σεμνὸν πρᾶγμα, τότε ἀναλαμβάνεται, ὅταν αὐτὸ δὲν γείνῃ· καθὼς ἐδόθησαν εἴς τινα νομίσματα διὰ νὰ ἐλευθερώσῃ τὸν ἰδιόν του δοῦλον, ἢ διὰ νὰ παραιτήσῃ κληρονομίαν ἢ κληροδοσίας· καὶ ἐὰν δὲν ἐκπληρώσῃ ταῦτα, ἀπαιτεῖται ὅσα ἔλαβεν· εἰ δὲ ἡ αἰσχρότης εἶναι τοῦ λαμβάνοντος, ἀποδίδει τὰ ληφθέντα, καὶ ἂν ἔκαμε τὸ πρᾶγμα διὰ τὸ ὁποῖον ἔλαβε· καθὼς, ἐὰν λάβῃ τις διὰ νὰ μὴ φονεύσῃ, ἢ νὰ μὴ κλέψῃ τὰ ἱερὰ, ἢ νὰ ἀποδώσῃ παρακαταθήκην ἢ ἔγγραφον· διότι καὶ ἀνίσως ἐξετέλεσε τὰ συμφωνηθέντα, ὅμως ἀπαιτεῖται ὅ,τι ἔλαβεν, ὡς ληφθὲν δι' ἄδικον πρᾶξιν καὶ αἰσχρῶς. Εἰ δὲ ἔχω δικαίαν δίκην καὶ προσφέρω χρήματα εἰς τὸν δικαστὴν διὰ νὰ ἀποφασίσῃ ὑπὲρ ἐμοῦ, ταῦτα δὲν ἀναλαμβάνω· διότι πράττω ἔγκλημα διαφθείρων τὸν δικαστὴν καὶ χάνω τὴν δίκην.

νὰ κινῆται ἀναργυρία οὐδὲ εἰς ἀπόδειξιν γενομένην διὰ προῖκα, ἐκτὸς ἐὰν ἡ ἀπόδειξις διαλαμβάνῃ τὴν προῖκα ταύτην κατ' εἶδος· εἰ δὲ ὁλικῶς, τότε δύναται νὰ κινῆται ἡ περὶ ταύτης ἀναργυρία ἐντὸς δέκα ἐτῶν.

2. Τὰ ὑπὲρ εὐσεβείας διδόμενα, κἂν κατὰ πλάνην δοθῇ, οὐ μεπετιτεύεται. (B. XXIV. 6. 32).

3. Ὁ δι' εὐσέβειαν ἀποθρέψας τὴν οἰκείαν ἀδελφόπαιδα οὐκ ἔχει ἀπαίτησιν. (B XVII. 1. 27.)

4. Ἡ ἀπαίτησις τῆς καταδίκης καὶ διηνεκής ἐστι καὶ πράγματος ἀπαίτησιν ἔχει καὶ κληρονόμοις καὶ κατὰ κληρονόμων δίδοται (*). (B. IX. 3. 6).

5. Ὅτι ἡ μήτηρ εἴ τι μὲν πρὸς τροφὴν τῶν παίδων αὐτῆς ἀνάλωσεν, ἀπαιτεῖν οὐ συγχωρεῖται· εἴ τι δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀνάλωσε, τοῦτο διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς ἀπαιτῆσαι δύναται. (B. XVII. 2. 11).

6. Καὶ ὁ ἀνὴρ, ἅτινα μὲν εἰς τὴν γαμετὴν αὐτοῦ ἀνάλωσε νοσοῦσαν, οὐκ ἀπὸ τοῦ πενθεροῦ ἀπαιτεῖ ταῦτα· ὅσα δὲ εἰς ταφὴν αὐτῆς ἀνάλωσεν, τὸν πατέρα πρὸς ὃν ἡ προῖξ ἐπανῆλθε, νομίμως μεθοδεύει. (B. XVII. 2. 13).

7. Οὐ λαμβάνει ὁ ἀνὴρ εἴ τι ἐδαπάνησεν εἰς τοὺς τεχθέντας ἐκ τῶν προικιμαίων δούλων, ἃ δέδωκεν εἰς μάθησιν αὐτῶν ἢ εἰς τροφάς· τῇ γὰρ ὑπηρεσίᾳ αὐτῶν κέχρηται. Τὸ δὲ δοθὲν ταῖς τροφαῖς αὐτῶν λαμβάνει, ὡς ἐπὶ σωτηρίᾳ δοθέν· ὃν τρόπον, εἰ παρὰ λῃστῶν τοὺς προικιμαίους ἀναβύσηται δούλους.

8. Ἡ τῆς κληρονομίας ἀπαίτησις οὐκ ἐκβάλλεται διὰ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς (B. XLII. 1. 65).

9. Ἐπὶ παρανόμων γάμων οὐ τρακταΐζεται ἀπαίτησις· οὐδὲ ἐπὶ αἰσχρᾷς τοῦ δεδωκότος αἰτίας. (B. XXIV. 8. 5).

10. Ὁ ἐνταλθεὶς οὐκ ἀπαιτεῖται, ἅπερ ἐληστεύθη ἢ ναυαγίῳ ἀπώλεσεν, ἢ περὶ τὴν ἰδίαν ἢ τὴν τῶν ἰδίων νόσον ἐδαπάνησε· ταῦτα γὰρ κατὰ τύχην, οὐ μὴν ἐκ τῆς ἐντολῆς συνέβη. (B. XIV. 1. 26).

(*) Ἀφοῦ καταδικασθῇ τις, ἐνέχεται εἰς τὴν ἀπαιτοῦσαν τὰ ἀπὸ καταδίκην ἕξδα· καὶ ἡ τοιαύτη ἀπαίτησις δὲν εἶναι πρόσκαιρος, ἀλλὰ διηνεκὴς, ἁρμόζουσα δηλ. ἕως τριακονταετίαν· διότι δὲν ἀπαιτεῖ ποινὴν, ἀλλὰ πρᾶγμα, τὸ ὁποῖον ἔλειψεν ἀπὸ τὴν περιουσίαν τοῦ νικήσαντος, καὶ τὴν ἐ-

2. Ὅσα δίδονται πρὸς εὐσέβειαν, καὶ κατὰ πλάνην ἐὰν δοθῶσι, δὲν ἀναλαμβάνονται.

3. Ὁ ἀναθρέψας τὴν ἀπὸ ἀδελφὴν ἀνεψιὰν αὐτοῦ δι' εὐσέβειαν δὲν ἔχει ἀπαίτησιν.

4. Ἡ ἀπαίτησις τῆς καταδίκης καὶ διηνεκὴς εἶναι καὶ πράγματος ἀπαίτησιν ἔχει καὶ δίδεται εἰς κληρονόμους καὶ κατὰ κληρονόμων.

5. Ἡ μήτηρ δὲν συγχωρεῖται νὰ ἀπαιτῇ ὅ,τι ἐξώδευσε πρὸς τροφὴν τῶν τέκνων της· ὅ,τι ὅμως ἐξώδευσε χρησίμως εἰς τὰ πράγματα αὐτῶν, τοῦτο δύναται νὰ ἀπαιτήσῃ μὲ τὴν περὶ διοικήσεως ἀγωγήν.

6. Καὶ ὁ ἀνὴρ, ὅσα ἐξώδευσεν εἰς ἀσθενείας τῆς συζύγου αὐτοῦ, δὲν τὰ ἀπαιτεῖ ἀπὸ τὸν πενθερόν· ὅσα δὲ ἐξώδευσεν εἰς ἐνταφιασμὸν αὐτῆς, τὰ αἰτεῖ νομίμως ἀπὸ τὸν πατέρα πρὸς τὸν ὁποῖον ἐπιστρέφει ἡ προῖξ.

7. Δὲν λαμβάνει ὁ ἀνὴρ ὅ,τι ἔτυχε νὰ ἐξοδεύσῃ εἰς τὰ παιδία τὰ γεννηθέντα ἀπὸ προικιμαίους δούλους, ἃ ἔδωσεν εἰς μάθησιν αὐτῶν ἢ εἰς τροφάς· διότι μεταχειρίζεται τὴν ὑπηρεσίαν αὐτῶν· ὅ,τι δὲ ἐδόθη εἰς τὰς τροφὰς αὐτῶν τὸ ἀναλαμβάνει, ὡς καταβληθὲν πρὸς σωτηρίαν. Ὡσαύτως καὶ ἐὰν ἀπολυτρώσῃ τοὺς προικιμαίους δούλους ἀπὸ λῃστάς.

8. Ἡ ἀπαίτησις τῆς κληρονομίας δὲν ἀναιρεῖται διὰ τῆς παλοχρονίου παραγραφῆς.

9. Εἰς παράνομον γάμον ἀπαίτησις δὲν ἔχει χώραν, οὐδὲ δι' αἰσχρὰν αἰτίαν τοῦ δώσαντος.

10. Ὁ ἐνταλθεὶς δὲν ἀπαιτεῖ, ὅσα τὸν ἀπεστέρησαν λῃσταὶ ἢ ἔχασεν εἰς ναυάγιον, ἢ ἐξώδευσεν εἰς ἰδίαν αὐτοῦ ἢ τῶν ἰδικῶν του ἀσθένειαν· διότι ταῦτα εἶναι τυχηρὰ, καὶ δὲν συνέβησαν ἀπὸ τὴν ἐντολήν.

λάττωσε, τοῦ δὲ καταδικασθέντος τὴν περιουσίαν ηὔξησε· καὶ διὰ τοῦτο δίδεται καὶ εἰς κληρονόμους τοῦ νικήσαντος καὶ κατὰ κληρονόμων τοῦ καταδικασθέντος ἁρμόζει.

11. Ἐὰν παράσχω σοι διατετιμημένον πρᾶγμα, ἐρ' ᾧ ἡ αὐτὸ ἀγαγεῖν μοι ἢ τὸ τίμημα, καὶ ἀπώληται πρὶν ἢ πραθῇ, εἰ μὲν ἐγώ σε παρεκάλεσα λαβεῖν, ἐμός ἐστιν ὁ κίνδυνος· εἰ δὲ σὺ παρεκάλεσας, σός· εἰ δὲ μηδέτερος, δόλον καὶ ἀμέλειαν χρεωστεῖς.

12. Ἐὰν βουλουμένου σοῦ σκεῦος ἀγοράσαι ὁ τεχνίτης ἀγαγὼν ἐάσῃ παρὰ σοὶ καὶ ἀπαρεσθεὶς πέμψῃς διὰ δούλου σοῦ καὶ ἀπώληται ἄνευ ἀμελείας καὶ δόλου σου, ὁ τεχνίτης ζημιοῦται· καὶ αὐτοῦ γὰρ χάριν ἐπέμφθη. Ἐνέχῃ δὲ καὶ ἀπὸ ἀμελείας τῶν λαβόντων αὐτὸ παρὰ σοῦ φυλάξαι ἢ διακομίσαι. Ἁρμόζει γοῦν ἡ τῶν προγεγραμμένων συμφώνων ἀγωγή. (B. XX. 4. 20).

13. Τὸν δακτύλιόν σου ἔλαβον ἐπὶ τῷ ἰδεῖν καὶ ἐξέπεσεν ἐπὶ τὸν ποταμὸν, καὶ ἐνέχομαι τῇ ἀγωγῇ (B. XX. 4. 23).

ΤΙΤΛ. Δ'. — Περὶ Καινοτομιῶν.

1. Καινὸν πρᾶγμα ποιεῖ τις ἢ διὰ τὸ οἰκοδομεῖν ἢ διὰ τὸ καταλύειν τίποτε καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσειν.

2. Εἴτε δικαίως εἴτε ἀδίκως κτίζει τις, κωλύειν αὐτὸν ἔξεστι· τὸ δὲ περὶ καινοτομίας παράγγελμα ἐπὶ τοῖς μέλλουσιν ἔργοις ἁρμόζει. (B. LVIII. 10. 1).

3. Καὶ χωρὶς ἄρχοντος παραγγέλλει τις, καὶ οἰκείῳ ὀνόματι καὶ ἀλλοτρίῳ καὶ πάντοτε καὶ πᾶσι καὶ ἀποῦσι καὶ ἀγνοοῦσι καὶ ἄκουσιν (B. LVIII. 10. 1).

4. Ὁ παραγγέλλων γίνεται ἐνάγων· καὶ ἐὰν ὁ παραγγελθεὶς κτίσῃ χωρὶς προτροπῆς, διὰ νομίμου παραγγελίας καταλύει τὸ ἔργον.

5. Ἔνθα γίνεται τὸ ἔργον, ὀφείλει τις παραγγέλλειν, εἴτε τις οἰκοδομεῖ, εἴτε ἄρχεται, κἂν μὴ τῷ δεσπότῃ παραγγείλῃ· παντὶ γὰρ ἐν τῷ ἔργῳ παρόντι καλῶς παραγγέλλεται, εἴτε διὰ τὸ ἔργον πάρεστιν, εἴτε διὰ τὸν δεσπότην· καὶ οὐ διαφερόμεθα, τίς καὶ ποίας αἱρέσεώς ἐστιν ὁ παραγγελθείς, εἰ δοῦλος ἢ γυνὴ ἢ παῖς ἢ

11. Ἐὰν σὲ ἐγχειρίσω πρᾶγμα ἐκτιμημένον, διὰ νά με ἐπιστρέψῃς ἢ αὐτὸ ἢ τὸ τίμημα αὐτοῦ, καὶ χαθῇ πρὸ τῆς πωλήσεως, εἰ μέν σε παρεκάλεσα ἐγὼ διὰ νὰ τὸ λάβῃς, ὁ κίνδυνος εἶναι εἰς βάρος μου· εἰδὲ παρεκάλεσες σὺ, εἰς βάρος σου· Ἂν ὅμως κανεὶς δὲν παρεκάλεσεν, εὐθύνεσαι εἰς δόλον καὶ ἀμέλειαν.

12. Ἐὰν θέλῃς νὰ ἀγοράσῃς ἀγγεῖον καὶ ὁ τεχνίτης τὸ φέρῃ καὶ τὸ ἀφήσῃ εἰς τὴν οἰκίαν σου, σὺ δὲ μὴ εὑρίσκων αὐτὸ τῆς ἀρεσκείας σου τὸ ἀποστείλῃς μὲ τὸν δοῦλόν σου καὶ χαθῇ χωρὶς ἀμέλειαν καὶ δόλον σου, ζημιοῦται ὁ τεχνίτης· διότι δι' αὐτὸν ἐστάλη. Ἐνέχεσαι δὲ καὶ ἀπὸ ἀμέλειαν τῶν λαβόντων ἀπὸ σὲ διὰ νὰ τὸ φυλάξωσιν ἢ νὰ τὸ μετακομίσωσιν. Ἁρμόζει λοιπὸν ἡ τῶν προγεγραμμένων συμφώνων ἀγωγή.

13. Ἔλαβον τὸ δακτυλίδιόν σου νὰ τὸ ἰδῶ καὶ ἔπεσεν εἰς ποταμόν, ἐνέχομαι εἰς τὴν περὶ πράγματος ἀγωγήν.

ΤΙΤΛ. Δ'. — Περὶ καινοτομιῶν.

1. Καινοτομεῖ τις ἢ κτίζων ἢ κατεδαφίζων κτίριον· ἐνίοτε καὶ ἀλλάττων τὴν προτέραν αὐτοῦ ὄψιν.

2. Εἴτε δικαίως εἴτε ἀδίκως κτίζει τις, συγχωρεῖται νὰ ἐμποδίζηται· τὸ δὲ περὶ καινοτομίας παράγγελμα ἁρμόζει εἰς μέλλοντα ἔργα.

3. Παραγγέλλει τις καὶ χωρὶς δικαστοῦ προσταγὴν, καὶ εἰς ἴδιόν του καὶ εἰς ἄλλου ὄνομα καὶ πάντοτε καὶ πρὸς ὅλους καὶ ἀπόντας καὶ ἀγνοοῦντας καὶ ἄκοντας.

4. Ὁ παραγγέλλων γίνεται ἐνάγων· καὶ ἐὰν ὁ παραγγελθεὶς κτίσῃ χωρὶς ἄδειαν, κατεδαφίζει τὸ ἔργον μὲ ἔννομον παραγγελίαν.

5. Ὅπου γίνεται τὸ ἔργον, ἐκεῖ ὀφείλει τις νὰ παραγγέλλῃ, εἴτε κτίζει τις, εἴτε ἀρχίζει, καὶ πρὸς τὸν κύριον ἐὰν δὲν παραγγέλλῃ· διότι καλῶς παραγγέλλεται πρὸς ἕκαστον παρόντα εἰς τὸ ἔργον, εἴτε διὰ τὸ ἔργον εἶναι παρὼν, εἴτε διὰ τὸν κύριον· καὶ δὲν ἐξετάζομεν, τίς καὶ ποίας καταστάσεως εἶναι ὁ παραγγελθείς,

κόρη. Πᾶσι γὰρ τοῖς παροῦσιν ὀρθῶς παραγγέλλεται, ἵνα μέντοι δύνηται ἀπαγγελθῆναι τῷ δεσπότῃ. Εἰ δὲ ἔξωθεν τοῦ ἔργου παραγγέλλῃ τις τῷ δεσπότῃ, οὐκ ἐρρῶται· ἐν αὐτῷ γὰρ δεῖ τῷ ἔργῳ παραγγέλλειν, ἵνα εὐθέως ὁ παραγγελθεὶς ἀναχωρήσῃ. Ἐπείτοιγε συμβαίνει, ἐν ὅσῳ ἔρχεται πρὸς τὸ ἔργον, τὸ κατὰ ἄγνοιαν αὐτοῦ γινόμενον παρὰ τὸ παράγγελμα γίνεσθαι. (Β. LVIII. 10. 4).

6. Ἐάν τις μετὰ τὸ παραγγελθῆναι ἐποικοδομήσῃ, μὴ αἰτήσας συγχώρησιν ἢ μὴ δεδωκὼς ἱκανὰ, τὸ μετὰ τὴν παραγγελίαν γεγονὸς ἔργον καταλύει, κἂν εἶχε δίκαιον τοῦ κτίζειν.

7. Ὁ κτίζων εἰ ἐγκαλεῖται καινοτομεῖν, εἴσω τριῶν μηνῶν ὀφείλει λέγειν τὴν δίκην· μετὰ δὲ ταῦτα ἀσφαλίζεσθαι, ὅτι ἐὰν ὀρθῇ κακῶς οἰκοδομήσας, καταστρέφει αὐτὰ, ἃ κτίζει, ἰδίοις ἀναλώμασιν.

8. Ἐὰν ἡ τοῦ ἀπολιμπανομένου κατασκευασθεῖσα παρὰ διοικητοῦ οἰκία βλάπτῃ τὸν παρόντα γείτονα, ὀφείλει ὁ διοικητὴς διὰ τετραμήνου καταμηνύειν καὶ παριστᾶν τὸ πρωτότυπον· εἰ δὲ καταμηνυθεὶς οὐ παραστῇ, τότε αὐτὸς ὁ φροντιστὴς δικαιολογούμενος, εἰ καταδικασθῇ, πᾶσαν καινοτομίαν εὐπορῶν ἀποδίδωσι, μὴ εὐπορῶν δὲ, ἀπὸ τῆς περιουσίας τοῦ ἀπόντος ἀπαιτεῖται.

9. Ἐὰν ὁ παραγγελθεὶς πωλήσῃ τὸν οἶκον καὶ ὁ ἀγοράσας κτίσῃ, αὐτὸς ἐνέχεται· οὐ γὰρ προσώπῳ, ἀλλὰ πράγματι γίνεται ἡ παραγγελία· διὸ παραγγελίας γενομένης, ὁ νεμόμενος ἐνέχεται. (Β. LVIII. 10. 25.)

10. Τῷ δούλῳ κτίζοντι καλῶς παραγγέλλει τις περὶ καινοτομίας· δοῦλος δὲ ἑτέρῳ κτίζοντι παραγγέλλειν οὐ δύναται.

11. Ἐὰν πολλῶν τινων εἴη τὸ πρᾶγμα, περὶ ὃ γίνεται τὸ ἔργον, εἰ καὶ ἑνὶ μόνῳ παραγγελθῇ, ὀρθῶς γίνεται ἡ παραγγελία, καὶ δοκεῖ πρὸς πάντας γεγονέναι τοὺς δεσπότας· εἰ δὲ εἷς ἐκ τῶν δεσποτῶν μετὰ τὴν παραγγελίαν ἐποικοδομεῖ, οὐκ ἐνάγονται περὶ τούτου τοῦ ἔργου οἱ ἄλλοι· οὐδὲ γὰρ χρὴ τὰ παρ' ἑτέρου γινόμενα καταβλάπτειν τοὺς μηδὲν πεποιηκότας.

ἐὰν τύχῃ δοῦλος ἢ γυνὴ ἢ παιδίον ἢ κόρη· διότι καλῶς παραγγέλλεται πρὸς ὅλους τοὺς παρόντας, διὰ νὰ εἰδοποιηθῇ ὅμως πρὸς τὸν κύριον. Εἰ δὲ παραγγέλλῃ τις τὸν κύριον μακρὰν ἀπὸ τὸ ἔργον, τοῦτο δὲν ἰσχύει· διότι ὀφείλει νὰ παραγγέλλῃ εἰς τὸ ἔργον αὐτὸ, διὰ νὰ ἀποχωρήσῃ εὐθὺς ὁ παραγγελθείς. Ἄλλως καθ' ὅσον ἐργάζεται, τὸ παρ' αὐτοῦ ἀγνοούμενον συμβαίνει νὰ ἦναι παρὰ τὸ παράγγελμα.

6. Ἐάν τις μετὰ τὸ παράγγελμα ἐπικτίσῃ, χωρὶς νὰ αἰτήσῃ ἄδειαν ἢ χωρὶς ἱκανοδοσίαν, κατεδαφίζει τὸ κτισθὲν μετὰ τὴν παραγγελίαν, καὶ δικαίωμα ἂν εἶχε νὰ κτίζῃ.

7. Ὁ κτίζων ἐὰν ἐγκαλῆται ὡς καινοτομῶν, ὀφείλει ἐντὸς τριῶν μηνῶν νὰ δικάζηται· μετὰ δὲ ταῦτα ἀσφαλίζεται ὅτι ἐὰν φανῇ, ὅτι ἔκτισε κακῶς, καταβαφίζει μὲ ἴδιά του ἔξοδα, ὅσα κτίζει.

8. Ἐὰν τοῦ ἀπόντος ἡ οἰκία κατασκευασθεῖσα ἀπὸ τὸν διοικητὴν βλάπτῃ τὸν παρόντα γείτονα, ὀφείλει ὁ διοικητὴς εἰς τέσσαρας μῆνας νὰ εἰδοποιήσῃ καὶ νὰ παραστήσῃ τὸ πρωτότυπον πρόσωπον· εἰ δὲ μετὰ τὴν εἰδοποίησιν δὲν παρασταθῇ ὁ κύριος, τότε δικαιολογούμενος αὐτὸς, ἐὰν καταδικασθῇ, εὐπορῶν μὲν ἀποδίδει τὴν καινοτομίαν ὅλην, ἀπορῶν δὲ ἀπαιτεῖται ἀπὸ τὴν περιουσίαν τοῦ ἀπόντος.

9. Ἐὰν ὁ παραγγελθεὶς πωλήσῃ τὴν οἰκίαν καὶ ὁ ἀγοράσας αὐτὴν κτίσῃ, οὗτος ἐνέχεται· διότι ἡ παραγγελία δὲν γίνεται εἰς πρόσωπον, ἀλλ' εἰς πρᾶγμα· ὅθεν μετὰ τὴν παραγγελίαν ἐνέχεται ὁ νεμόμενος.

10. Τὸν κτίζοντα δοῦλον καλῶς παραγγέλλει τις περὶ καινοτομίας· ὁ δὲ δοῦλος δὲν δύναται νὰ παραγγέλῃ ἄλλον κτίζοντα.

11. Ἐὰν τὸ πρᾶγμα, εἰς τὸ ὁποῖον γίνεται τὸ ἔργον, ἀνήκῃ εἰς πολλοὺς, καὶ εἰς ἕνα μόνον ἐὰν παραγγελθῇ, καλῶς γίνεται ἡ παραγγελία, καὶ νομίζεται ὅτι ἔγεινε πρὸς ὅλους τοὺς κυρίους· εἰ δὲ μετὰ τὴν παραγγελίαν ἐπικτίσῃ εἷς ἀπὸ τοὺς κυρίους, περὶ τοῦ ἔργου τούτου δὲν ἐνάγονται οἱ ἄλλοι· διότι τὰ γινόμενα ἀπὸ ἄλλον, δὲν πρέπει νὰ βλάπτωσι τοὺς μὴ πράξαντας τίποτε.

12. ΕΠΑΡΧΙΚΑ *ἀπὸ τῶν τοῦ Ἀσκαλωνίτου Ἰουλιανοῦ τοῦ ἀρχιτέκτονος ἐκ τῶν νόμων ἤτοι ἐθῶν τῶν ἐν Παλαιστίνῃ· πρῶτον περὶ μέτρων.*

Ὅτι ὁ δάκτυλος πρῶτός ἐστιν· ὥσπερ καὶ ἡ μονὰς ἐπὶ τῶν ἀριθμῶν.

Ἡ παλαιστὴ ἔχει δακτύλους δ'. Ὁ πῆχυς ἔχει πόδας ιη''. ἤτοι παλαιστὰς ς'. Τὸ βῆμα ἔχει πήχεις β'. ἤτοι πόδας γ'. παλαιστὰς ιβ'.

Ἡ ὀργυιὰ ἔχει βήματα β'. ἤτοι πήχεις δ'. ἤτοι πόδας ς'. ἤγουν σπιθαμὰς θ'. δακτ. σ'. Ἡ ἄκαινα ἔχει ὀργ. αἠ'' ἤτοι πήχεις ς'. ἤτοι πόδας θ'. παλαιστὰς λς'. Τὸ πλέθρον ἔχει ἀκαίνας ι'. ἤτοι ὀργίας ιέ. ἤτοι βήματα λ'. πήχεις ξ'. καὶ πόδας ή'.

Τὸ στάδιον ἔχει πλέθρα ς'. ἤτοι ἀκαίνας ξ'. ἤτοι ὀργίας ρ'. βήματα σμ'. πήχεις ύ. πόδας χ'.

Τὸ μίλιον κατὰ μὲν Ἐρατοσθένην καὶ Στράβωνα τοὺς γεωγράφους ἔχει σταδίους ή. καὶ γ'., ἤτοι ὀργίας ωλς'. κατὰ δὲ τὸ νῦν κρατοῦν ἔθος στάδια μὲν ἔχει ζη''. ἤτοι ὀργίας ψν'. ἤτοι βήματα αρ'. πήχεις ,ς.

Δεῖ δὲ γινώσκειν, ὡς τὸ νῦν μίλιον, ἤτοι τῶν ζη''. σταδίων, ὀργίας μὲν γεωμετρικὰς, ὡς ἔρημεν, ἔχει ψν'. ἁπλᾶς δὲ ωμ'. αἱ γὰρ ρ'. ὀργῖαι γεωμετρικαὶ ριβ'. ἀποτελοῦσιν ἁπλᾶς ὀργίας.

13. *Περὶ βαλανείου.* Χρὴ τὸν ἐπιχειροῦντα κτίζειν ἰδιωτικὸν βαλανεῖον ἀριστῄντοῦ γείτονος τὰς καμίνους· εἰ μὲν νοτιώτερον εἴη τὸ γινόμενον βαλανεῖον ἢ δυσικώτερον τοῦ γείτονος, ἔχοντος δευτέραν ἢ τρίτην θέσιν καὶ θυρίδας ἀποβλεπούσας εἰς τὸ αὐτὸ βαλανεῖον,

Σημ. Τὸ ἡ ἐτέθη ἵνα παρεστήσῃ τὸ ἥμισυ.

12. ΕΠΑΡΧΙΚΑ *συλλεχθέντα παρὰ Ἰουλιανοῦ Ἀσκαλωνίτου τοῦ Ἀρχιτέκτονος ἀπὸ τοὺς νόμους ἤτοι τὰ ἔθιμα τῆς Παλαιστίνης. Πρῶτον περὶ μέτρων.*

Ὁ δάκτυλος εἶναι πρῶτος· καθὼς καὶ ἡ μονὰς εἰς τοὺς ἀριθμούς.

Ἡ παλάμη ἔχει δακτύλους τέσσαρας. Ὁ πῆχυς ἔχει πόδα ἕνα ἥμισυν, ἤτοι παλάμας ἕξ. Τὸ βῆμα ἔχει πήχεις δύο, ἤτοι πόδας τρεῖς παλάμας δώδεκα.

Ἡ ὀργυιὰ ἔχει βήματα δύο, ἤτοι πήχεις τέσσαρας, ἤτοι πόδας ἕξ, ἤγουν σπιθαμὰς ἐννέα, δακτύλους ἐννενηκονταέξ. Ἡ ἄκαινα ἔχει ὀργυιὰν μίαν καὶ ἡμίσειαν, ἤτοι πήχεις ἕξ, ἤτοι πόδας ἐννέα, παλάμας τριακονταέξ. Τὸ πλέθρον ἔχει ἀκαίνας δέκα, ἤτοι ὀργυιὰς δεκαπέντε, ἤτοι βήματα τριάκοντα, πήχεις ἑξήκοντα, πόδας ἐνενήκοντα.

Τὸ στάδιον ἔχει πλέθρα ἕξ, ἤτοι ἀκαίνας ἑξήκοντα, ἤτοι ὀργυιὰς ἑκατὸν, βήματα διακόσια τεσσαράκοντα, πήχεις τριακοσίας, πόδας ἑξακοσίους.

Τὸ μίλιον κατὰ μὲν Ἐρατοσθένην καὶ Στράβωνα τοὺς γεωγράφους ἔχει στάδια ὀκτὼ καὶ τριτημόριον, ἤτοι ὀργυιὰς ὀκτακοσίας τριάκοντα· κατὰ δὲ τὴν ἐπικρατοῦσαν σήμερον συνήθειαν ἔχει στάδια ἑπτὰ καὶ ἥμισυ, ἤτοι ὀργυιὰς ἑπτακοσίας πεντήκοντα, ἤτοι βήματα χίλια πεντακόσια, πήχεις χιλιάδας τρεῖς.

Γνωστὸν δὲ ἔστω, ὅτι τὸ σήμερον μίλιον, ἤτοι τῶν ἑπτὰ καὶ ἡμίσεως σταδίων, ὀργυιὰς γεωμετρικὰς μὲν, ὡς προελέχθη, ἔχει ἑπτακοσίας πεντήκοντα, ἁπλᾶς δὲ ὀκτακοσίας τεσσαράκοντα· διότι αἱ ἑκατὸν γεωμετρικαὶ ὀργυιαὶ ἀποτελοῦσιν ἑκατὸν δώδεκα ἁπλᾶς ὀργυιάς.

13. *Περὶ λουτροῦ.* Ὁ ἐπιχειρῶν νὰ κτίζῃ ἰδιωτικὸν λουτρὸν, εἰ μὲν τὸ γινόμενον λουτρὸν εἶναι νοτιώτερον ἢ δυτικώτερον ἀπὸ δίπατον ἢ τρίπατον οἰκίαν γείτονος καὶ ἀπὸ παράθυρα ἀποβλέποντα πρὸς αὐτὸ, ὀφείλει νὰ ἀπομακρύνῃ τὰς καμίνους εἴκοσι πήχεις ἀπὸ

πήχεις κ'. χειμερινῶν γὰρ ὄντων τῶν ἀνέμων, οὐ συνεχῶς μὲν αἱ τοῦ γείτονος ἀνοιγήσονται θυρίδες, διασκορπισθήσεται δὲ καὶ ἀναλωθήσεται ὑπὸ τοῦ ὑγροῦ ἀνέμου ἡ τοῦ πυρὸς ἀκμή. Εἰ δὲ βορειότερον ἢ ἀνατολικώτερον εἴη τοῦ γείτονος τὸ πριβάτον, δευτέρας ἢ τρίτης θέσεως οὔσης τοῦ γειτνιῶντος καὶ θυρίδων ὑπανεῳγμένων ἐπὶ τὸ αὐτὸ πριβάτον, τηνικαῦτα ἀφιστᾷν τὸν κτίζοντα τὸ εἰρημένον πριβάτον πήχεις οὐκ ἐλάττους τῶν λ'. Θερινῶν γὰρ ὄντων τῶν ἀνέμων, καὶ τῶν θυρίδων συνεχῶς ἀνοιγομένων, βλάβη τις προσγενήσεται τῷ τὴν οἰκίαν ἔχοντι· φρακτῶν δὲ ὄντων τῶν τοίχων τῶν ἀποβλεπόντων πρὸς αὐτὸ τὸ πριβάτον, τῶν εἰρημένων μέτρων τὸ τρίτον διδόσθω τῷ κτίζοντι· εἰ δὲ μονόστεγοι τυγχάνουσιν ἐπίπεδοί εἰσιν οἱ οἶκοι, θύρας ἢ θυρίδας ἔχοντες ἀποβλεπούσας, ὡς εἴρηται, τὸ αὐτὸ τοῖς φρακτοῖς δεδόσθω. Εἰ δὲ φρακτοί εἰσιν οἱ τοῖχοι τῶν τοιούτων ἐπιπέδων, τῶν ἐπὶ τῶν ὑπερῴων μέτρων διδόσθω τὸ ἕκτον. Καὶ ταῦτα μὲν ἐν πόλει· ἐν δὲ χωρίοις τῶν εἰρημένων μέτρων τὸ ἥμισυ.

14. *Ἐπαρχικόν. Περὶ Ἀρτοκοπείου.* Τὸν ἐκ νέου κατασκευάζοντα ἀρτοκοπεῖον ἐν μὲν πόλει χρὴ ἀφιστᾷν τοῦ γείτονος τὸν τοῦ φούρνου οἶκον εἰς ὑψηλὸν ὑπαιθρον τόπον πήχεις ξ', εἰ τοῦ γείτονος εἴη τὰ οἰκήματα ἐπίπεδα μόνον. Αὕτη δὲ δίδοται ἡ τοῦ ὑπαίθρου τόπου ἀπόστασις διὰ τὰς γινομένας ἀπὸ τῶν τοιούτων ταῖς οἰκίαις καύσεις. Εἰ δὲ δευτέραν ἢ τρίτην ἢ καὶ ἑτέρας θέσεις ἔχει ὁ γείτων, τηνικαῦτα τὸν ἀρτοκοπεῖον ποιοῦντα ἀφιστᾷν τὸν τοῦ κλιβάνου οἶκον τοῦ γείτονος τὸ μὲν αὐτὸ τοῦ ὑπαίθρου διάστημα τὸ εἰρημένον· ἕνεκα δὲ τοῦ μὴ καπνίζεσθαι στοιχείτωσαν τῷ δημοίρῳ μέρει τῶν ἐπὶ τοῖς πριβάτοις εἰρημένων, ἡ μὲν γὰρ τοῦ πριβάτου συνεχὴς καὶ ἄπαυστος καῦσις, ἡ δὲ τοῦ κλιβάνου μερική, ἥτις ἐστὶ τῷ πλείονι μέρει ἐν

τὴν γειτονικὴν οἰκίαν, διότι ἐπικρατούντων τῶν ἀνέμων τοῦ χειμῶνος, δὲν θὰ ἀνοίγωνται συχνὰ τὰ παράθυρα τοῦ γείτονος καὶ τοῦ πυρὸς ἡ ἀκμὴ θὰ διαλύηται καὶ θὰ φθείρηται ἀπὸ τὸν ὑγρὸν ἄνεμον. Εἰ δὲ τὸ λουτρὸν εἶναι βορειότερον ἢ ἀνατολικώτερον, ἀπὸ δίπατον ἢ τρίπατον οἰκίαν γείτονος καὶ ἀπὸ παράθυρα ἀνοιγόμενα κατ' ὄψιν αὐτῆς, τότε τὸ κτιζόμενον λουτρὸν ἀνάγκη νὰ ἀπέχῃ πήχεις ὄχι ὀλιγωτέρας τῶν τριάκοντα· διότι ἀπὸ τοὺς ἐπικρατοῦντας θερινοὺς ἀνέμους καὶ τὰ συχνὰ ἀνοίγματα τῶν παραθύρων βλάπτεται ὁ γείτων οἰκοκύριος. Ἐὰν ὅμως οἱ ἀποβλέποντες πρὸς τὸ λουτρὸν τοῖχοι ἦναι φρακτοί, δίδεται εἰς τὸν κτίζοντα τὸ τρίτον τῶν προλεχθέντων μέτρων. Εἰ δὲ αἱ οἰκίαι εἶναι μονόροφοι ἤτοι χαμηλαί, καὶ αἱ θύραι ἢ τὰ παράθυρα ἀποβλέπουσι πρὸς τὸ λουτρὸν, δίδεται τὸ αὐτὸ μέτρον μὲ τῶν φρακτῶν τοίχων· εἰ δὲ οἱ τοῖχοι τῶν τοιούτων χαμηλῶν οἰκημάτων εἶναι φρακτοί, δίδεται τὸ ἕκτον τῶν μέτρων τῶν λογιζομένων διὰ τὰ πολυόροφα. Καὶ ταῦτα μὲν κρατοῦσιν εἰς πόλιν· εἰς δὲ τὰ χωρία λογίζεται τὸ ἥμισυ τῶν προλεχθέντων μέτρων.

14. *Περὶ ἀρτοποιείου.* Ὁ κατασκευάζων ἀρτοποιεῖον, εἰ μὲν τοῦ γείτονος τὰ οἰκήματα εἶναι μόνον χαμηλὰ, εἰς μὲν πόλιν ὀφείλει νὰ ἀπομακρύνῃ τὸ κτίριον τοῦ φούρνου εἰς τόπον ὑψηλὸν καὶ ἀνοικτὸν, πήχεις ξ' ἀπὸ τὴν οἰκίαν τοῦ γείτονος. Δίδεται δὲ ἡ ἀπόστασις αὕτη τοῦ ἀνοικτοῦ τόπου διὰ τὰς ἐπισυμβαινούσας εἰς τὰς οἰκίας ἀπὸ τὰ τοιαῦτα πυρκαϊάς. Εἰ δὲ ὁ γείτων ἔχει δίπατον ἢ τρίπατον ἢ καὶ ὑψηλοτέραν οἰκίαν, τότε ὁ κατασκευάζων ἀρτοποιεῖον ἀπομακρύνει τὴν οἰκοδομὴν τοῦ κλιβάνου ἀπό τὴν οἰκίαν τοῦ γείτονος κατὰ τὴν αὐτὴν ἀπόστασιν τοῦ ἀνοικτοῦ τόπου· πλὴν διὰ νὰ μὴ καπνίζηται ἡ οἰκία λογίζεται τὸ ἥμισυ μέτρον ἀπὸ τὰ τεταγμένα διὰ τὰ λουτρά· διότι τοῦ λουτροῦ ἡ καῦσις εἶναι συνεχὴς καὶ ἄπαυστος, ἡ δὲ τοῦ κλιβάνου πρόσκαιρος, καὶ γίνεται ὡς ἐπὶ τὸ πλεῖστον τὴν νύκτα.

νυκτὶ γινομένη. Καὶ ταῦτα μὲν ἐν πόλει, ἐν δὲ κώμαις ἡ προαστείοις τῶν εἰρημένων τὸ ἥμισυ (*).

15. *Ἐπαρχικόν. Περὶ φούρνου κεραμεικοῦ.* Τὸν κατασκευάζοντα ἐν κώμῃ φοῦρνον κεραμεικὸν χρὴ ἀφιστᾶν τοῦτον τοῦ γείτονος, εἴτε θέσις εἴη δευτέρα καὶ γ'. ἡ περαιτέρω, καὶ εἰ μὲν βορειότερος εἴη ἡ ἀνατολικώτερος ὁ φοῦρνος, τῆς οἰκήσεως θύρας ἢ θυρίδας αὐτῆς ἐχούσης ἀποβλεπούσας πρὸς αὐτὸν τὸν φοῦρνον πήχεις εἴκοσιν· ἡ γὰρ τῆς κεραμεικῆς χρεία καὶ ἐργασία ἐν τῷ καιρῷ τῆς τῶν εἰρημένων ἀνέμων προσβολῆς γίνεται· εἰ δὲ νοτιώτερος ἢ δυσικώτερος εἴη ὁ φοῦρνος τῆς τοῦ γείτονος οἰκήσεως καὶ αὐτῆς ἐχούσης θύρας ἢ θυρίδας, ἀφιστᾶν αὐτὸν πήχεις δεκαδύο, χειμερινῶν ὄντων τῶν ἀνέμων, καὶ τῆς ἐργασίας τὸ τηνικαῦτα μὴ οὔσης· εἰ δὲ φρακτοὶ ἢ ἐπίπεδοι εἶησαν οἱ οἶκοι, τότε ἀφιστᾶν αὐτὸν τῶν εἰρημένων πήχεων τὸ τρίτον. Προτέρας δὲ κεραμεικῆς οὔσης καὶ ἑτέρου γείτονος ἄλλην βουλουμένου πρὸς αὐτὴν κατασκευάσαι, τῆς τοῦ γείτονος παλαιᾶς καλυβώσεως χρὴ αὐτὸν τὸν κατασκευάζοντα, εἰ μὲν ἀνατολικωτέρα ἢ βορειοτέρα εἴη ἡ καλύβωσις, ἀφιστᾶν τοὺς φούρνους πήχεις ιέ. εἰ δὲ δυτικωτέρα ἢ νοτιωτέρα εἴη τῶν μελλόντων φούρνων γίνεσθαι ἡ καλύβωσις, πήχεις λ'. Τὰ αὐτὰ δὲ φυλαχθήτωσαν μέτρα τοῖς ἀνέμοις καὶ ἐπὶ τῶν ἁλωνίων.

(*) Ἤγουν, ἐὰν τὸ κτιζόμενον ἀρτοποιεῖον ᾖναι νοτιώτερον ἢ δυτικώτερον ἀπὸ δίπατον ἢ τρίπατον οἰκίαν τοῦ γείτονος καὶ ἀπὸ παράθυρα ἀποβλέπεντα εἰς τὸ ἀρτοποιεῖον, ἀνάγκη νὰ ἀπέχῃ ἀπὸ τὴν οἰκίαν τοῦ γείτονος πήχεις δεκατρεῖς καὶ τριτημόριον μόνον· εἰδὲ τὸ ἀρτοποιεῖον εἶναι βορειότερον ἢ ἀνατολικώτερον ἀπὸ δίπατον ἢ τρίπατον οἰκίαν γείτονος, καὶ ἀπὸ παράθυρα ἀνοιγόμενα πρὸς αὐτό, τότε ὁ κτίζων ἀπομακρύνει τὸ προλεχθὲν ἀρτοποιεῖον πήχεις ὄχι ὀλιγωτέρας ἀπὸ τὰς εἴκοσι. Εἰδὲ οἱ τοῖχοι εἶναι φρακτοὶ καὶ ἀποβλέπουσι πρὸς τὸ ἀρτοποιεῖον, δίδεται εἰς τὸν κτίζοντα τὸ τρίτον τῶν προλεχθέντων μέτρων. Εἰ δὲ αἱ οἰκίαι εἶναι μονόροφοι, ἤτοι χαμηλαί, καὶ ἔχουσι θύρας καὶ παράθυρα, ἀνοιγόμενα, ὡς προελέχθη, πρὸς τὸ ἀρτοποιεῖον, δίδεται τὸ αὐτὸ μέτρον μὲ τῶν φρακτῶν οἰ-

Καὶ ταῦτα μὲν κρατοῦσιν εἰς πόλιν, εἰς δὲ κώμας ἡ προάστεια λογίζεται τὸ ἥμισυ τῶν προλεχθέντων μέτρων.

15. *Περὶ κεραμοψείου.* Ὁ κατασκευάζων εἰς κώμην κεραμοψεῖον ὀφείλει νὰ ἀπομακρύνῃ τοῦτο πήχεις εἴκοσι ἀπὸ δίπατον, τρίπατον καὶ ὑψηλοτέραν οἰκίαν γείτονος, καὶ βορειότερον ἢ ἀνατολικώτερον ἐὰν ἦναι τὸ κεραμοψεῖον, καὶ ἡ οἰκία ἔχῃ θύρας καὶ παράθυρα ἀποβλέποντα πρὸς αὐτό· διότι ἡ χρῆσις καὶ ἐργασία τῆς κεραμευτικῆς γίνεται, ὅταν φυσῶσιν οἱ προλεχθέντες ἄνεμοι. Εἰ δὲ τὸ κεραμοψεῖον εἶναι νοτιώτερον ἢ δυτικώτερον ἀπὸ τὴν οἰκίαν τοῦ γείτονος καὶ αὕτη ἔχει θύρας ἢ παράθυρα, ἐπὶ τούτου αὐτὸς ἀπομακρύνει τὸ κτιζόμενον πήχεις δώδεκα, ὡς ἐπικρατούντων τῶν χειμερινῶν ἀνέμων, καὶ τῆς ἐργασίας μὴ γινομένης τότε. Εἰ δὲ αἱ οἰκίαι εἶναι φρακτοὶ ἢ μονόροφοι, τότε ἀπομακρύνει αὐτὸς τὸ κτίριον τὸ τρίτον ἀπὸ τὰς προλεχθείσας πήχεις. Εἰ δὲ προϋπῆρχε κεραμοψεῖον καὶ γείτων τις θέλει νὰ κατασκευάσῃ εἰς τὸ πλάγι ἄλλο, ὀφείλει ὁ κτίζων, ἐὰν ἡ παλαιὰ καλύβη τοῦ γείτονος ἦναι ἀνατολικωτέρα ἢ βορειοτέρα, νὰ ἀπομακρύνῃ ἀπὸ αὐτὴν τὸ κεραμοψεῖον πήχεις δεκαπέντε· εἰ δὲ ἡ καλύβη εἶναι δυτικωτέρα ἢ νοτιωτέρα ἀπὸ τὰ μέλλοντα νὰ γείνωσι κεραμοψεῖα, πήχεις τριάκοντα. Τὰ αὐτὰ μέτρα τῶν ἀνέμων φυλάττονται καὶ εἰς τὰ ἁλώνια.

κιῶν. Εἰ δὲ ὁ τοῖχος τῶν τοιούτων μονορόφων εἶναι φρακτός, δίδεται τὸ ἕκτον μέτρον τὸ λογιζόμενον διὰ τὰ πολυόροφα. Καὶ ταῦτα κρατοῦσι λέγει εἰς τὴν Κωνσταντινούπολιν διότι ὁ νότος εἶναι χειμερινός, τὸν δὲ χειμῶνα δὲν ἀνοίγονται συχνὰ τοῦ γείτονος τὰ παράθυρα· ὁ δὲ βορρᾶς εἶναι θερινός, καὶ τὸ θέρος ἀνοίγονται συχνὰ τοῦ γείτονος τὰ παράθυρα, καὶ βλάπτεται ἐκ τούτου ἡ οἰκία αὐτοῦ. Εἰς δὲ τὴν Θεσσαλονίκην, ἐπειδὴ συμβαίνουν τἀναντία, ὁ νότος νὰ ἦναι θερινὸς ἄνεμος, ὁ δὲ βορέας χειμερινός, ἐὰν εἰς ταύτην δοθῶσι τἀναντία τούτων, ἤγουν εἰς τὸ νοτιώτερον κτίριον πλειοτέρα ἀπόστασις ἀπὸ τὴν οἰκίαν τοῦ γείτονος, εἰς δὲ τὸ βορειότερον ὀλιγωτέρα, ἴσως τοῦτο δὲν γίνεται ἐκτὸς λόγου.

16. *Ἐπαρχικόν. Περὶ Γυψαρείου.* Εἴ τι γυψαρεῖον ἤτοι γυψοκοπεῖον βουληθῇ κατασκευάσαι ἐν κώμαις ἢ ἐν πόλει, χρὴ αὐτὸν ἀφιστᾷν τοῦ γείτονος τὴν τοῦ γύψου κάμινον· καὶ εἰ μὲν μονόστεγα εἴη τοῦ γείτονος καὶ θυρίδας ἀποβλεπούσας ἔχει εἰς τὸν τῆς καμίνου τόπον, ψιλοῦ ὄντος καὶ ἀζέγου τοῦ τῆς καμίνου τόπου· εἰ μὲν ἀνατολικώτερος ἢ βορειότερος εἴη οὗτος ὁ τόπος τῆς καμίνου, ἀφιστᾷν χρὴ πήχεις ἡ. εἰ δὲ δυτικώτερος ἢ νοτιώτερος, ἐπιπέδων ὄντων τῶν τοῦ γείτονος οἴκων καὶ θύρας ἐχόντων, πήχεις δ'. Εἰ δὲ ὁ τῆς καμίνου τόπος ἐστεγασμένος εἴη, θυρίδων οὐσῶν τῷ γείτονι πρὸς αὐτῇ τῇ καμίνῳ, στοὰν μὴ ἐξεῖναι αὐτῷ ἐν ταύτῃ κατασκευάζειν· πνιγμὸς γὰρ γενήσεται ἀπὸ τῆς τοῦ καπνοῦ προσβολῆς διὰ τῶν θυρίδων τῷ γείτονι. Εἰ δὲ δευτέραν ἢ τρίτην ἢ καὶ παιρετέρω θέσιν ἔχει, θυρίδων οὐσῶν βλεπουσῶν πρὸς αὐτὸ τὸ γυψαρεῖον, ἀφιστᾷν τὴν κάμινον ἀπὸ τοῦ τοίχου τοῦ γείτονος πήχεις κδ'· ῥακτοῦ δι' ὅντος τοῦ τοίχου, καὶ μήτε θυρίδων, μήτε θυρῶν οὐσῶν ἐν αὐτῷ, τότε ἐξεῖναι τῷ τὸ γυψαρεῖον ἔχοντι ἀφιστᾷν τοῦ τοίχου πήχεις δύο μόνους, τοῦτο δὲ ποιεῖν διὰ τὴν τῷ τοίχῳ ἀπὸ τοῦ πυρὸς γινομένην σάθρωσιν· κρούειν δὲ ἢ κόπτειν τὸν γύψον μὴ ἐξεῖναι πρὸς τῷ τοῦ γείτονος τοίχῳ, ἀλλ' ἀφίστασθαι ἐν ταῖς κοπαῖς τοῦ τοῦ γείτονος τοίχου πήχεις ς'. οἶδε γὰρ καὶ ἡ τῶν κοπῶν προσβολὴ τοῦ τοίχους διακλύειν.

17. *Ἐπαρχικόν. Περὶ φούρνου τῆς ἀσβέστου.* Τὸν ἐθέλοντα φοῦρνον τῆς ἀσβέστου κατασκευάζειν χρὴ ἀφίστασθαι πάσης οἰκήσεως δευτέρας ἢ τρίτης θέσεως ἢ καὶ τῶν ἐρεξῆς παραιτέρω καὶ λοιπῶν, πήχεις ἑκατὸν ἀπὸ παντὸς κλίματος ἀνέμου· δριμυτέρα γὰρ καὶ λοιμώδης σρόδρα ἡ ἀπ' αὐτῆς ἀτμίς· ἄλωνος δὲ ἀφίστασθαι ταύτην τὴν κάμινον πήχεις ν'.

18. *Ἐπαρχικόν. Περὶ θερμοβρόχων καὶ βαφέων.* Ἡ τῶν θερμοβρόχων καὶ βαφέων ἐργασία διὰ πυρὸς ὡς ἐπὶ τὸ πλεῖστον καὶ συνεχὴς οὖσα τοὺς ἐπικειμένους οἴκους λυμαίνεται· οὗ χρὴ οὖν, εἴπερ ἐπίπεδος ὁ ἑτέρου οἰκός ἐστιν ὁ ἑτέρου δὲ ἐπικείμενος, τὴν καῦσιν γίνεσθαι ὑπ' αὐτούς· καθὼς γὰρ εἴρηται,

(*) Καθὼς εἰς τὴν περίστασιν ταύτην. Ἐδανείσθην ἀπό τινα νομίσματα ἑκατόν· τὸν ἔδωσα ἐνέχυρον, καὶ ὁ δανειστὴς κατεῖχεν αὐτό· καὶ ὁ δανειστὴς ἐὰν κρατῇ τὸ ἐνέχυρον, ἐγὼ ὅμως εἶμαι κύριος αὐτοῦ. Συνέβη νὰ χαθῇ τὸ τοιοῦτον ἐνέχυρον ἀπὸ πυρκαϊὰν λόγ. χ. ἢ κλοπὴν ἢ θάνατον (καὶ τί ἂν τὸ ἐνέχυρον ἦτον ζῶα ἢ δοῦλοι;) ἢ ἀπὸ ἄλλην τινὰ φυσικὴν φθοράν. Ὁ δανειστὴς μοὶ αἰτοῦσε τὸ χρέος, καὶ ἐγὼ τὸν ἔλεγον· ἐγχείρισέ με τὸ ἐνέχυρον, καὶ σὲ ἀποδίδω τὸ χρέος. Καλῶς ὁ δανειστὴς μὲ ἀντέτεινε

14. Ὁ μὴ ἐπιμελούμενος τὴν παρακαταθήκην ὡς τὰ ἴδιά του πράγματα δόλον πράττει.

15. Ἐὰν τῆς παρακαταθήκης ὁ δέκτης ἀπὸ λῃστῶν ἐπιδρομὴν ἔχασε τὰ ἐμπιστευθέντα εἰς αὐτὸν, ὁ χαμὸς δὲν πίπτει εἰς βάρος τοῦ κληρονόμου αὐτοῦ· διότι ὁ λαμβάνων παρακαταθήκην ὀφείλει εὐθύνην δόλου μόνον καὶ ἀμελείας καὶ ἐνοχῆς· ἐκτὸς ἂν ῥητῶς ἐσυμφωνήθη καὶ ἄλλο τι.

16. Δὲν ὑπολαμβάνεται ὅτι χάνει πρᾶγμα ἐκεῖνος, ὅστις δὲν εἶναι κύριος αὐτοῦ.

17. Ἐὰν ὁ κληρονόμος καταχρᾶται τὴν πρόφασιν τῆς λῃστείας ἢ ἄλλης τυχηρᾶς περιστάσεως καὶ παρακρατῇ τὰ ἐμπιστευθέντα πράγματα ἢ κατὰ δόλον ἔπαυσε νὰ τὰ ἔχῃ καὶ δὲν τὰ ἀποκατασταίνῃ, ἐνέχεται εἰς τὴν περὶ παρακαταθήκης ἀγωγήν.

18. Ὁ ἐγγυηθεὶς τὸν λαβόντα παρακαταθήκην ἐνέχεται, καὶ δόλον ἂν δὲν ἔπραξεν ὁ λαβὼν αὐτὴν, ἔχει δὲ τὸ πρᾶγμα (καὶ τί, ἐὰν ἦναι τρελὸς ἢ ὀρφανὸς ἢ ἄνηβος ἢ ἀπέθανεν ἀδιάθετος;) καὶ ἀναγκάζεται νὰ ἀποδώσῃ, ὅσα κατὰ λόγον παρακαταθήκης συνειθίζει νὰ δίδῃ ὁ ἐγγυητής.

19. Ὁ λαβὼν καὶ ἀπὸ τὰ δύο μέρη εἰς παρακαταθήκην ἢ συμβιβασμοῦ ἔγγραφα ἢ ἄλλα τινὰ ἀποδεικτικὰ ἀναγκάζεται νὰ φυλάττῃ τὰς συμφωνίας, καθ' ἃς ἔλαβε τὴν παρακαταθήκην.

20. Ὁ λαβὼν πρᾶγμα εἰς παρακαταθήκην καὶ παρακαταθέσας αὐτὸ ἐγγράφως πρὸς ἄλλον τινὰ δὲν παραιτεῖται καλῶς ἀπὸ τὸ νὰ ἀποκαστήσῃ, ὅσα ἔλαβε, προβάλλων τὸ γράμμα εἰς ἀπόδειξιν τῆς πρὸς ἄλλον παρακαταθέσεως.

21. Ὁ συμψηφισμὸς γίνεται εἰς ὅλα τἄλλα πράγματα ἐκτὸς

τὸν παρόντα νόμον λέγων· ἐγὼ τοῦ ἐνεχύρου κύριος δὲν ἤμην, οὐδὲ ὑπολαμβάνομαι ὅτι τὸ χάνω, σὺ δὲ ὡς κύριος αὐτοῦ ἀναδέχεσαι καὶ τὸν κίνδυνον. Καλῶς με λέγει τοῦτο, καὶ τὸ χρέος μὲ ἀπαιτεῖ καὶ οὐδὲ τὸ ἐνεχυρόν με ἀποδίδει, ἐκτὸς ἂν ἐχάθη κατὰ δόλον αὐτοῦ· διότι τότε τὸ ζημιοῦται αὐτὸς καὶ αὐτὸν ἀφορᾷ ὁ κίνδυνος, καὶ κύριος ἐὰν δὲν ἦναι.

χωρὶς μόνης τῆς περὶ παρακαταθήκης ἀγωγῆς· ὅταν γὰρ παρακαταθήκην τις ἀπαιτῇ καὶ ἐγκαλῇ κατὰ τοῦ δεξαμένου αὐτὴν, οὐκ ἔχει χώραν ὁ τὴν παρακαταθήκην λαβὼν κινεῖν τὸν ἀντέλογον· ἀλλ' εἰ καὶ βούλεται κινῆσαι, ὁ δικαστὴς αὐτὸν οὐ προσδέχεται, ἀλλ' ἀναγκάζεται παντοιοτρόπως τὴν παρακαταθήκην ἀποδιδόναι· (θαυμασίως δὲ καὶ καλῶς ἡ διάταξις ταῦτα παρακελεύεται, τὰς πολλὰς πονηρίας τῶν παρακαταθήκας λαμβανόντων παρά τινων ἀναστέλλουσα.) (Β. XIII. 2. 44.)

ΤΙΤΛ. Γ. — Περὶ Κοινωνίας.

1. Συνίσταται κοινωνία ἢ ἕως οὗ ζῶσιν οἱ κοινωνοῦντες ἢ πρὸς καιρὸν ἢ ὑπὸ αἵρεσιν. (Β. XII. 1. 1.)

2. Ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν· κατὰ φύσιν γὰρ τῆς συμφωνίας ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται. (Β. XII. 1. 17.)

3. Ὅτε μὲν ἀπὸ συναινέσεως γένηται κοινωνία, χώρα τῇ περὶ κοινωνίας ἀγωγῇ· ὅτε δὲ χωρὶς συναινέσεως, κοινοπραξία ἐστίν. (Β. XII. 1. 32.)

4. Θανάτῳ λύεται ἡ κοινωνία καὶ οὐκ ἐφεῖται συμφωνεῖν διαβαίνειν εἰς τοὺς κληρονόμους· εἰ μὴ ἐπὶ δημοσίων χρεῶν.

5. Ἐὰν ἀδελφοὶ κοινωνίαν συστήσωνται, καὶ τὰ ἀπὸ στρατείας προσγινόμενα καὶ τὰ σιτηρέσια κοινοποιοῦνται.

6. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομία καὶ ληγάτα καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται. (Β. XII. 1. 3.)

7. Ἐὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐρχομένην εἰς ἕνα ἡμῶν δικαίαν κληρονομίαν, οὐ περὶ τῆς ἐκ διαθήκης δικοῦμεν λέγειν, ἀλλὰ περὶ τῆς νομίμου.

8. Συνίσταται κοινωνία πράγματι καὶ ῥήματι καὶ δι' ἀγγέλου· καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ, καταστάσεως ἐναλλαγῇ καὶ ἀπορίᾳ. Συνίσταται καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι καὶ ἐπὶ τέλει

μόνον τῆς περὶ παρακαταθήκης ἀγωγῆς· διότι ὅταν τις ἀπαιτῇ παρακαταθήκην καὶ ἐνάγῃ τὸν δέκτην αὐτῆς, ὁ λαβὼν τὴν παρακαταθήκην δὲν δύναται νὰ κινῇ τὸν συμψηφισμόν· ἀλλὰ καὶ ἐὰν θέλῃ νὰ κινήσῃ, ὁ δικαστὴς δὲν παρεδέχεται αὐτὸν, ἀλλ' ἀναγκάζεται παντοιοτρόπως νὰ ἀποδώσῃ τὴν παρακαταθήκην. (Καλῶς δὲ καὶ θαυμασίως διατυπόνει ταῦτα ἡ διάταξις, καὶ ἀναστέλλει τὰς πολλὰς πονηρίας τῶν δεχομένων παρακαταθήκας ἀπό τινας).

ΤΙΤΛ. Γ. — Περὶ συντροφίας.

1. Συντροφία συνίσταται ἢ ἕως ὅτου ζῶσιν οἱ σύντροφοι ἢ πρὸς καιρὸν ἢ ὑπὸ ὅρον.

2. Εἰς τῆς συντροφίας τὴν σύστασιν δὲν πρέπει νὰ συμφωνῆται τίποτε περὶ τῆς παραιτήσεως· διότι κατὰ τὴν φύσιν τῆς συντροφίας ὁ παραιτούμενος παρακαίρως ἐνέχεται.

3. Ὅταν κατὰ συναίνεσιν γείνῃ συντροφία, ἔχει χώραν ἡ περὶ συντροφίας ἀγωγή· ὅταν δὲ χωρὶς συναίνεσιν, εἶναι κοινοπραξία.

4. Ἡ συντροφία διαλύεται ἀπὸ θάνατον καὶ δὲν συγχωρεῖται νὰ συμφωνῶσιν ὥστε νὰ μεταβαίνῃ αὕτη εἰς τοὺς κληρονόμους· ἐκτὸς ἐὰν ἦναι λόγος περὶ δημοσίων χρεῶν.

5. Ἐὰν ἀδελφοὶ συντροφεύσωσι, καὶ τὰ ἀπὸ στρατείαν προσαποκτώμενα καὶ τὰ σιτηρέσια κοινὰ γίνονται.

6. Ἐὰν ῥητῶς γείνῃ συμφωνία ὅλων τῶν πραγμάτων, καὶ κληρονομία καὶ κληροδοσία καὶ δωρεαὶ καὶ πᾶν κέρδος εἰς τὸ κοινὸν προσαποκτῶνται.

7. Ἐὰν συμφωνήσωμεν νὰ ἦναι κοινὴ ἡ ἐπερχομένη πρὸς ἕνα ἡμῶν δικαία κληρονομία, δὲν ὑπολαμβανόμεθα ὅτι λέγομεν περὶ τῆς ἐνδιαθέτου, ἀλλὰ περὶ τῆς νομίμου.

8. Συντροφία συνίσταται πραγματικῶς καὶ διὰ τοῦ λόγου καὶ διὰ τρίτου προσώπου· διαλύεται δὲ ἀπὸ παραίτησιν, θάνατον, καταστάσεως ἀλλαγὴν καὶ ἀπορίαν. Συνίστανται δὲ καὶ εἰς ὅλα τὰ

καὶ ἐρ' ἑνὶ πράγματι καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων· ὁ γὰρ πενέστατος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι διὰ τῆς σπουδῆς ἀντεισάγει. (Β. XIII. 1. 4.)

9. Ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ λεχθῇ ἐπὶ τίνι δοκεῖ συνίστασθαι, ἐπὶ τῷ περιγενομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας καὶ μισθώσεως καὶ ἐκλήψεως συνίσταται· πόρος γάρ ἐστιν ὁ ἀπὸ καμάτου τινὶ περιγενόμενος· κληρονομίαι δὲ καὶ ληγάτα καὶ δωρεαὶ οὐ περιέχονται· αἱ γὰρ δωρεαὶ ὡς μισθός τινος ἡγησαμένου περιγίνονται ἡμῖν. (Β. XII. 1. 7—9.)

10. Τοῦ κέρδους ὁ κοινωνὸς οὐ δίδωσι τόκον, εἰ μὴ ἀπὸ ὑπερθέσεως καὶ συγχρήσεως. (Β. XII. 1. 58.)

11. Ὁ κοινωνὸς ἀπὸ ἀμελείας καὶ ῥαθυμίας ἐνέχεται· οὐ χρεωστεῖ δὲ μεγάλην ἀσφάλειαν, ἀλλ' οἵαν ἐν τοῖς ἰδίοις πράγμασι.

12. Τοῦ κοινωνοῦ βλάψαντος τὸ κοινὸν πρᾶγμα καὶ ὁ κληρονόμος αὐτοῦ ἐνέχεται· εἰ καὶ τὰ μάλιστα κατὰ κληρονόμων οὐχ ἁρμόζει ὁ Ἀκουίλιος. (Β. XII. 2. 10).

Περὶ διαιρέσεως κοινῶν.

13. Εἰ μὴ δύνανται διαιρεθῆναι τὰ πράγματα, καθ' ὑπερθεματισμὸν ἐνὶ προσκυρούσθωσαν· ἐὰν δὲ ὁ εἷς τῶν δικαζομένων πένης ὢν μὴ δύνηται ὑπερθεματίσαι, φερέσθω καὶ ἐξωτικὸς ὀφείλων ὑπερθεματισμὸν ἐπὶ τῷ πράγματι ποιήσασθαι. (Β. XII. 2. 32).

14. Ἐὰν ἡ γενομένη μεταξὺ ἡμῶν τελείων ὄντων ἐπὶ τοῖς ἐπικοίνοις πράγμασι διαίρεσις καταληφθείσης ἢ μετενεχθείσης τῆς νομῆς πέρας ἐδέξατο ἀνανεοῦσθαι τὰ τῇ ἀμοιβαίᾳ πίστει περαιωθέντα οὐ δύνανται. (Β. XII. 3. 8).

15. Ἀπαγόρευσις πολλάκις παρὰ τῷ νόμῳ καλεῖται ἡ τῆς κοινωνίας διάλυσις.

16. Εἰ καὶ συνεφωνήθη εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν, ἐξ εὐλόγου αἰτίας λύεται. Τί γὰρ ὅτι ἡ αἵρεσις ἐφ' ᾗ συν-

πράγματα καὶ εἰς φόρους καὶ εἰς ἓν πρᾶγμα καὶ μεταξὺ τῶν ἐχόντων ἄνισον περιουσίαν· διότι ὁ πάντῃ πτωχὸς τὸ ἐλλεῖπον εἰς χρήματα προσφέρει διὰ τῆς ἐπιμελείας του.

9. Ὅταν ἁπλῶς γείνῃ συντροφία καὶ δὲν ὁμιληθῇ εἰς τί, ὑπολαμβάνεται ὅτι συνίσταται εἰς τὸν προσαποκτώμενον πόρον καὶ εἰς τὸ κέρδος ἀπὸ πώλησιν καὶ ἀγορὰν καὶ μίσθωσιν καὶ ἐργολαβίαν· διότι πόρος εἶναι ὅ,τι προσαποκτᾷ τις μὲ τὸν κόπον του. Κληρονομίαι δὲ καὶ κληροδοσίαι καὶ δωρεαὶ δὲν περιέχονται· διότι αἱ δωρεαὶ μᾶς ἐπέρχονται ὡς μισθὸς προηγηθέντος τινός.

10. Ὁ σύντροφος τόκον τοῦ κέρδους δὲν δίδει, ἐκτὸς ἀπὸ ὑπέρθεσιν καὶ χρῆσιν.

11. Ὁ σύντροφος ἐνέχεται ἀπὸ ἀμέλειαν καὶ ἐνοχήν· δὲν ὀφείλει ὅμως εὐθύνην μεγάλης ἐπιμελείας, ἀλλὰ ὁποίαν καταβάλλει καὶ εἰς τὰ ἴδιά του πράγματα.

12. Ὅταν ὁ σύντροφος βλάψῃ τὸ κοινὸν πρᾶγμα καὶ ὁ κληρονόμος αὐτοῦ ἐνέχεται· ἂν καὶ κατὰ κληρονόμων μάλιστα ὁ ἀκουίλιος νόμος δὲν ἁρμόζῃ.

Περὶ διαιρέσεως κοινῶν.

13. Ἐὰν τὰ πράγματα δὲν δύνανται νὰ διαιρεθῶσι προσκυροῦνται εἰς ἕνα κατὰ πλειστηριασμόν· εἰ δὲ ὁ εἷς τῶν δικαζομένων ὡς πτωχὸς δὲν δύναται νὰ πλειστηριάζῃ, προσλαμβάνεται καὶ ἐξωτικὸς ὀφείλων νὰ πλειστηριάσῃ εἰς τὸ πρᾶγμα.

14. Ἐὰν ἡμεῖς ἐνήλικοι ὄντες μοιράσωμεν πρὸς ἀλλήλους τὰ κοινὰ πράγματα, ἡ δέ νομὴ αὐτῶν ἐναπομείνῃ ἢ μετατεθῇ, τὰ ἀποφασισθέντα κατὰ τὴν ἀμοιβαίαν ἡμῶν πίστιν δὲν δύναται νὰ ἀνανεωθῶσι.

15. Παραίτησιν πολλάκις λέγει ὁ νόμος τῆς συντροφίας τὴν διάλυσιν.

16. Καὶ ἂν ἐσυμφωνήθη ἐντὸς ῥητοῦ καιροῦ νὰ μὴ διαλυθῇ ἡ συντροφία, ἀπὸ εὔλογον ὅμως αἰτίαν διαλύεται. Καὶ τί ἂν ὁ ὅρος ὑπὸ τὸν ὁποῖον ἐσυστήθη, δὲν ἐξετελέσθη ἢ ὁ σύντροφος ἦναι ὑβρι-

έστῃ οὐκ ἐγένετο ἡ ὕβριστὴς καὶ ἐπιζήμιός ἐστιν ὁ κοινωνὸς ἢ οὐκ ἔστι καρπίζεσθαι τὸ πρᾶγμα, δι' ὃ συνέστηκεν ἡ κοινωνία ;

17. Τὰ περὶ τὴν κοινωνίαν οὐ τὰ διὰ τὴν κοινωνίαν δαπανηθέντα κοινά. (Β. ΧΙΙ. 1. 58.)

18. Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῶ, ὅσα μὲν κτήσωμαι ἕως οὗ μάθῃ, κοινὰ γίνεται· ἡ δὲ ζημία μόνον ἐμὲ ὀρᾷ· τὸ δὲ κέρδος τοῦ κοινωνοῦ μόνου αὐτοῦ ἐστι καὶ ἡ ζημία κοινή. (Β. ΧΙΙ. 1. 17).

19. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησε. (Β. ΧΙΙ. 1. 26).

20. Τὰ συστάντα χρέα τῷ καιρῷ κοινωνίας ἐκ τοῦ κοινοῦ δίδονται· καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους (ἴσως γὰρ αἱρετικόν ἐστιν) ἡ κοινωνία λυθῇ, περὶ τῆς καταβολῆς ἀλλήλους ἀσφαλίζονται. (Β. ΧΙΙ. 1. 27.)

21. Ἐὰν χρήματα συνεισάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ καὶ ἀπόλωνται τὰ ἐμὰ, τῇ κοινότητι ἀπώλοντο, εἴγε οὐκ ἀπώλοντο, εἰ μὴ συνέβη ἡ κοινωνία· εἰ δὲ μετὰ τὸ ἀφορίσαι με καὶ μήπω συναγαγεῖν ἀπώλοντο, μόνος ζημιοῦμαι. (Β. ΧΙΙ. 1. 56).

22. Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς κλοπῆς ἀγωγῇ ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα.

23. Τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. Ὅθεν τὰ διατετιμημένα θρέμματα εἰ μὲν ὑπὸ λῃστῶν ἁρπασθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται· χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος τὰ διατετιμημένα· καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίᾳ ἐδόθησαν βόσκεσθαι, εἰ καὶ τὰ μάλιστα ἦν διατετιμημένα.

24. Ἐὰν κοινωνὸς ἐπὶ κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιέπεσε λῃσταῖς καὶ ἀπώλεσεν ἴδια χρήματα ἢ πράγματα, ἅτινα εἰ μὴ διὰ ἐμπορίαν, οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. Τὸ αὐτό ἐστι καὶ ἐὰν πλοῖον μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη, ὅτε χωρὶς θαλάσσης οὐκ εἰώθη ἡ πραγματεία φέρεσθαι.

στὴς καὶ ἐπιζήμιος ἢ δὲν ὠφελῆται ἡ συντροφία ἀπὸ τὸ πρᾶγμα διὰ τὸ ὁποῖον ἐσυστήθη ;

17. Κοινὰ εἶναι τὰ ἐξοδευθέντα εἰς τὴν συντροφίαν καὶ ὄχι τὰ διὰ τὴν συντροφίαν.

18. Ἐὰν πρὸς τὸν σύντροφόν μου ἀπόντα στείλω τὴν παραίτησίν μου, ὅσα ἀποκτήσω ἕως ὅτου τὸ μάθῃ κοινὰ γίνονται· ἡ δὲ ζημία πίπτει εἰς βάρος μόνον ἐμοῦ, τοῦ δὲ συντρόφου τὸ κέρδος εἶναι μόνου αὐτοῦ καὶ ἡ ζημία κοινή.

19. Εἰς βάρος τοῦ συντρόφου εἶναι τὰ συμβαίνοντα ἀπὸ ἰδίαν του ἀμέλειαν, καὶ εἰς πολλὰ ἄλλα ἂν ὠφέλησεν.

20. Ὅσα χρέη ἔγεινον εἰς τὸν καιρὸν τῆς συντροφίας ἀποδίδονται ἀπὸ τὸ κοινόν· καὶ πρὸ τῆς καταβολῆς τοῦ χρέους (διότι ἐνδέχεται νὰ ἦναι ὑπὸ ὅρον) ἐὰν διαλυθῇ ἡ συντροφία, οἱ σύντροφοι ἀσφαλίζουσιν ἀλλήλους περὶ τῆς καταβολῆς.

21. Ἐὰν συνεισφέρωμεν χρήματα πρὸς κοινὴν ἐμπορίαν καὶ χαθῶσι τὰ ἰδικά μου, διὰ τὸ κοινὸν χάνονται, ἂν χωρὶς τῆς συντροφίας τὴν σύστασιν δὲν ἐχάνοντο· εἰ δὲ ἐχάθησαν, ἀφοῦ τὰ προσδιώρισα καὶ πρὶν τὰ συνεισφέρω, μόνος ζημιοῦμαι.

22. Ὁ σύντροφός μου διὰ κοινὸν πρᾶγμα ἐνέχεται πρός με καὶ εἰς τὴν περὶ κλοπῆς ἀγωγὴν, καὶ ἡ μία δὲν ἀναιρεῖ τὴν ἄλλην.

23. Τὰ τυχηρὰ δὲν πίπτουσιν εἰς βάρος τοῦ συντρόφου. Ὅθεν τὰ ἐκτιμημένα ζῶα εἰ μὲν ἁρπασθῶσιν ἀπὸ λῃστὰς, ἡ ζημία εἶναι κοινή· εἰ δὲ κλαπῶσι, ζημιοῦται μόνος ὁ ἔχων αὐτά· διότι ὁ παραλαβὼν τὰ ἐκτιμημένα ὀφείλει ἀκριβεστάτην φύλαξιν· ἁρμόζει δὲ ἡ περὶ συντροφίας ἀγωγὴ, ἂν παρεδόθησαν νὰ βόσκωνται ὑπὲρ τῆς συντροφίας, καὶ ἐκτιμημένα μάλιστα ἂν ἦσαν.

24. Ἐὰν σύντροφος ἐταξείδευσε πρὸς κοινὴν ἐμπορίαν καὶ περιέπεσεν εἰς λῃστὰς καὶ ἔχασε τὰ ἰδιά του χρήματα ἢ πράγματα, τὰ ὁποῖα ἐκτὸς τῆς ἐμπορίας, δὲν ἐλάμβανε μαζύ του, τὸ μέρος τῆς ζημίας ἀποδέχεται ὁ σύντροφος καθὼς καὶ τῆς ἰατρείας τὰ ἔξοδα. Τὸ αὐτὸ καὶ ἂν πλοῖον ἐναυάγησε μὲ τὸ φορτίον καὶ ἔγεινε ζημία, ὅταν τὸ φορτίον δὲν ἠδύνατο νὰ μεταφερθῇ διὰ ξηρᾶς.

25. Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα. (Β. ΧΙΙ. 1. 50).

26. Εἰ δὲ καὶ ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσι τὰ ἔξωθεν αὐτοῖς κτηθέντα.

27. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει, ἢ τὰ δαπανηθέντα λαβεῖν μετὰ τόκων εἴσω τεσσάρων μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀπαίτησιν προνόμιον, ἢ καὶ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τὴν τετράμηνον ἢ μᾶλλον διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον· ἴσως γὰρ οὐ βούλεται σχεῖν τὸν οἶκον. Διὰ τοῦτο δὲ τετραμήνῳ περιωρίσθη, ἐπειδὴ μετ' αὐτὴν ὁ νόμος τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι. (Β. ΧΙΙ. 1. 50.)

28. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορίαν μόνας τὰς εἰς αὐτὴν γινομένας δαπάνας λογίζεται τῇ κοινότητι.

29. Ἐὰν ἐπὶ πράσει ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γενομένη ζημία καὶ τὸ κέρδος κοινόν ἐστιν.

30. Ὁ κοινὸς πυλεὼν δύο οἴκων ἄκοντος τοῦ ἑνὸς τῶν δεσποτῶν διαιρεῖται, ἐν ᾧ μή ἐστιν ἑτέρωθεν εἴσοδος. (Β. ΧΙΙ. 2. 19).

ΤΙΤΛ. ΙΑ'. — Περὶ Λύσεως κοινωνίας.

1. Λύεται ἡ κοινωνία φθειρομένων τῶν προσώπων ἢ τοῦ πράγματος ἢ τῆς γνώμης ἢ τῆς ἀγωγῆς. Προσώπου μὲν ἡνίκα καταδικασθῇ θανάτῳ ἢ ἐξορίᾳ ἢ δημεύσει εἰς τῶν κοινωνῶν, ἢ καὶ τελευτήσῃ κοινῷ θανάτῳ. Φθείρεται δὲ τὸ πρᾶγμα, ὅταν ἢ παντελῶς οὐχ ὑπέστη ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἱερωθὲν ἢ δημευθέν. Γνώμῃ δὲ λύεται ὅταν ἀπαγορεύσωσι καὶ ἰδιαζόντως ἕκαστος αὐτῶν ἄρξηται πραγματεύεσθαι. Ἀγωγῇ δὲ λύεται, ὅταν δι' ἐπερωτήσεως ἢ δικαστηρίου ἐναλλαγῇ ἡ τῆς κοινωνίας αἰτία· καὶ γὰρ ἐπὶ διαλύσει τῆς κοινωνίας ἐνάγων ἀπαγορεύει αὐτήν. (Β. ΧΙΙ. 1. 61.)

25. Κανεὶς τῶν ἀργυροπωλῶν συντρόφων δὲν φέρει εἰς τὸ κοινὸν, ὅσα αὐτὸς ἐκέρδησεν ἔξω ἀπὸ τὴν τράπεζαν.

26. Εἰ δὲ καὶ ἀδελφοὶ διὰ συντροφίαν δὲν ἐμοίρασαν τὰς κληρονομίας τῶν γονέων, δὲν συνεισφέρουσιν εἰς τὸ κοινὸν, ὅσα ἔξωθεν αὐτοὶ προσαποκτῶσιν.

27. Ἐὰν ὁ σύντροφος, ὅταν οἱ λοιποὶ ἀναλάβωσι τὸ πρᾶγμα, ἀνακαινίσῃ τὴν κοινὴν οἰκίαν, ἐκλέγει, ἢ τὰ ἔξοδα μὲ τοὺς τόκους νὰ λάβῃ ἐντὸς τεσσάρων μηνῶν μετὰ τὴν ἀνακαίνισιν, καὶ ἔχει προνόμιον εἰς τὴν ἀπαίτησιν, ἢ καὶ μετὰ τὴν τετραμηνίαν νὰ λάβῃ τὴν οἰκίαν εἰς κυριότητα ἢ μᾶλλον τὸ διαφέρον νὰ αἰτήσῃ μὲ τὴν περὶ συντροφίας ἀγωγὴν, ἀνίσως δὲν θέλῃ νὰ λάβῃ τὴν οἰκίαν. Ὁ δὲ τόκος ἐπεριελείσθη εἰς τετραμηνίαν, διότι μετὰ ταύτην ὁ νόμος δίδει τὴν κυριότητα εἰς τὸν ἀνακαινιστήν.

28. Ὁ ταξειδεύσας διὰ κοινὴν ἐμπορίαν μόνα τὰ ἔξοδα, ὅσα ἔκαμε δι' αὐτὴν, λογίζει εἰς τὸ κοινόν.

29. Ἐὰν συστηθῇ συντροφία διὰ πώλησιν ἢ μίσθωσιν, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γινομένη ζημία καὶ τὸ κέρδος κοινὰ εἶναι.

30. Τὸ κοινὸν προαύλιον δύο οἰκιῶν καὶ ἀκουσίως τοῦ ἑνὸς τῶν κυρίων μοιράζεται, ὅταν ἄλλοθεν εἴσοδος δὲν ὑπάρχῃ.

ΤΙΤΛ. ΙΑ'. — Περὶ διαλύσεως συντροφίας.

1. Διαλύεται ἡ συντροφία, ὅταν χάνωνται τὰ πρόσωπα ἢ τὸ πρᾶγμα, καὶ κατὰ γνώμην ἢ κατ' ἀγωγήν. Καὶ τὸ μὲν πρόσωπον χάνεται ὅταν ὁ εἷς τῶν συντρόφων καταδικασθῇ εἰς θάνατον ἢ ἐξορίαν ἢ δήμευσιν ἢ καὶ ἀπὸ κοινὸν θάνατον ἀποθάνῃ. Τὸ δὲ πρᾶγμα, ὅταν ἢ ποσῶς δὲν ὑπῆρξεν ἢ κατάστασιν ἤλλαξε γινόμενον ἱερὸν ἢ δημόσιον. Κατὰ δὲ γνώμην διαλύεται, ὅταν παραιτηθῶσι καὶ ἕκαστος αὐτῶν ἀρχίσῃ νὰ ἐμπορεύηται ἰδιαιτέρως. Καὶ κατὰ ἀγωγὴν, ὅταν τῆς συντροφίας ἡ αἰτία μεταλλαχθῇ διὰ συμφωνίας ἢ διὰ δικαστηρίου· διότι παραιτεῖ τις τὴν συντροφίαν, ὅταν ἐνάγῃ πρὸς διάλυσιν αὐτῆς.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ ΚΑΙ ΓΑΜΩΝ.

ΤΙΤΛ. Α'. — Περὶ συναινέσεως μνηστείας.

1. Μνηστεία ἐστὶν ἡ τῶν μελλόντων γενέσθαι γάμων ὑπόσχεσις· τὸ γὰρ προοικονομεῖν καὶ προκατασκευάζειν τὸ μετὰ ταῦτα μέλλον γενήσεσθαι καὶ τὸ ἔλκειν καὶ φέρειν τινά τι πρᾶγμα εἰς ἑαυτὸν μνηστεύεσθαι λέγουσιν· ἐμφαίνει δὲ καὶ αὐτὸ τὸ ὄνομα τῆς μνηστείας μνήμην τοῦ ἐπαγγέλματος. (Β. XXVII. 1. 1).

2. Μνηστεία ἐστὶν ἡ τῶν μελλόντων γάμων ἐπαγγελία· καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία λέγεται συνίστασθαι.

3. Οἱ συναινοῦντες τῷ γάμῳ καὶ τῇ μνηστείᾳ συναινοῦσιν· ἀεὶ δὲ συναινεῖν δοκεῖ ὁ πατὴρ τῇ θυγατρὶ εἰ μὴ ῥητῶς ἐναντιοῦται. (Β. XXIII. 1. 5.)

4. Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν οὔτε διαλύει τὴν γενομένην. (Β. XXIII. 1. 4).

5. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν καὶ τῆς αὐτεξουσίας. (Β. XXVIII. 1. 8).

6. Ὡς ἐπὶ τῶν γάμων, οὕτω καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσι· δεῖ οὖν καὶ τὴν ὑπεξουσίαν συναινεῖν. Δοκεῖ δὲ τῷ πατρὶ συναινεῖν ἡ μὴ ἀντιλέγουσα. Τότε δὲ μόνον ἀντιλέ-

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ ΚΑΙ ΓΑΜΟΥ.

ΤΙΤΛ. Α'. — Περὶ συναινέσεως μνηστείας.

1. Μνηστεία εἶναι ἡ ὑπόσχεσις τοῦ μέλλοντος νὰ γείνῃ γάμου· διότι τὸ νὰ προοικονομῇ τις καὶ νὰ προετοιμάζῃ τὸ μέλλον νὰ γείνῃ μετέπειτα καὶ τὸ νὰ ἑλκύῃ καὶ φέρῃ πρὸς ἑαυτὸν πρᾶγμά τι λέγεται μνηστεία· καὶ αὐτὸ δὲ τὸ ὄνομα τῆς μνηστείας σημαίνει ἐνθύμησιν τῆς ὑποσχέσεως.

2. Μνηστεία εἶναι ἡ ὑπόσχεσις τοῦ μέλλοντος γάμου· καὶ ἐγγράφως καὶ ἀγράφως λέγεται ὅτι συνίσταται ἡ μνηστεία.

3. Οἱ συναινοῦντες εἰς τὸν γάμον συναινοῦσι καὶ εἰς τὴν μνηστείαν· πάντοτε δὲ ὁ πατὴρ θεωρεῖται ὅτι δίδει τὴν συναίνεσιν εἰς τὴν θυγατέρα, ἐὰν ῥητῶς δὲν ἐναντιοῦται.

4. Ὁ ἐπίτροπος παρὰ τὴν θέλησιν τῆς ὀρφανῆς οὔτε μνηστείαν δι' αὐτὴν συνάπτει οὔτε τὴν ὑπάρχουσαν διαλύει.

5. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται νὰ διαλύῃ τὴν μνηστείαν, ὄχι ὅμως καὶ τῆς αὐτεξουσίας.

6. Καθὼς εἰς τὸν γάμον, οὕτω καὶ εἰς τὴν μνηστείαν οἱ συναπτόμενοι ὀφείλουσι νὰ συναινῶσι· πρέπει λοιπὸν νὰ συναινῇ καὶ ἡ ὑπεξουσία. Λογίζεται ὅτι συναινεῖ μὲ τὸν πατέρα ἡ μὴ ἀντιλέγου-

γειν δύναται, ὅτε τοῖς τρόποις ἀνάξιον καὶ αἰσχρὸν αὐτῇ μνηστεύεται. (Β. XXVIII. 1. 9).

7. Διχονοοῦντες τοῦ ὑπεξουσίου οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ. (Β. XXVIII. 1. 11).

8. Ἡ μνηστευομένη ἑτέρῳ καὶ ἑτέρῳ γαμηθεῖσα ἀτιμοῦται.

9. Ἡ ἑτέρῳ μνηστευθεῖσα ἀπαγορεῦσαι τὴν μνηστείαν καὶ ἑτέρῳ γαμηθῆναι οὐ κεκώλυται, γενομένου δηλονότι ῥεπουδίου ἤτοι διαζυγίου. (Β. XXVIII. 1. 15).

10. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ἑπτὰ ἐτῶν. (Β. XXVIII. 1. 12).

11. *Καὶ ἡ νς'. Νεαρὰ τοῦ Καίσαρος Λέοντος* οὕτω φησί. Καὶ ἡμεῖς θεσπίζομεν μηδαμῶς συνίστασθαι μνηστείαν ἐπὶ χρόνοις ἐλάττοσι τῶν ἑπτά· μήτε μὴν ἱεροτελεστίαις βεβαιοῦσθαι τὴν μνηστείαν, τοῦ τρισκαιδεκάτου ἔτους ἐνδεούσης τῆς νύμφης, τοῦ δὲ νυμφίου τὸν τεσσαρεσκαιδέκατον μὴ διαμετροῦντος. Ἀλλὰ τοῦτο μὲν ἀπηγόρευται πρὸς τὴν κοινὴν καὶ δημοσίαν τοῦ πολιτεύματος χρῆσιν· εἰ δὲ βασιλεὺς (οἷα πολλὰ συμβαίνει) πράττων οἰκονομίαν τινὰ καὶ μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συνάρμοσιν τοῖς μνηστευομένοις ἔνδον τῶν διορισθέντων ἐτῶν ἐπιψηφιεῖται, τοῦτο πρὸς τὸν νόμον οὐδὲν ἀντίκειται· ἔξεστι γὰρ τοῖς ἐκ θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγχειρισμένοις πραγμάτων ὑπέρτερον ἢ κατὰ νόμον οἰκονομεῖν, ὃς ἄγει τοὺς ὑπηκόους.

12. Ἡ δὲ νεαρὰ τοῦ Καίσαρος Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκείνας εἶναι φησὶ κυρίως μνηστείας καὶ ἀτεχνῶς ἰσοδυναμούσας γάμῳ, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως Καίσαρος Λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν. Εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τοῖς πολλοῖς συνήθη ἀκολουθίαν ἤδη γεγόνασι καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρὸς, καθ' ὃν ἡ τοῖς Χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι, καὶ οὐδὲ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀκριβεῖς ὅσον κατὰ τὴν

σα. Τότε δὲ μόνον δύναται νὰ ἀντιλέγῃ, ὅτε μνηστεύῃ αὐτὴν μὲ ἀνάξιον καὶ αἰσχρὸν τοὺς τρόπους.

7. Ὅταν ὁ ὑπεξούσιος διχονοῇ μνηστεία εἰς ὄνομα αὐτοῦ δὲν γίνεται.

8. Ἡ ἄλλον μνηστευομένη καὶ ἄλλον ὑπανδρευομένη ἀτιμοῦται.

9. Ἡ ἄλλον μνηστευθεῖσα δὲν ἐμποδίζεται νὰ παραιτηθῇ τῆς μνηστείας καὶ νὰ ὑπανδρευθῇ ἄλλον, δηλονότι μετὰ τὸ διαζύγιον.

10. Ὁ ἐννοῶν τὸ γινόμενον, τουτέστιν ὁ μὴ μικρότερος τῶν ἑπτὰ ἐτῶν, καλῶς μνηστεύεται.

11. Καὶ ἡ πεντηκοστὴ ἕκτη νς'. νεαρὰ τοῦ καίσαρος Λέοντος οὕτω λέγει. Καὶ ἡμεῖς διατάττομεν ποσῶς νὰ μὴ γίνηται μνηστεία εἰς ἡλικίαν μικροτέραν τῶν ἑπτὰ ἐτῶν· ἀλλὰ μήτε μὲ ἱεροτελεστίας νὰ βεβαιοῦται ἡ μνηστεία ὅταν ἡ νύμφη ἦναι μικροτέρα τῶν δεκατριῶν ἐτῶν, ὁ δὲ νυμφίος δὲν συμπληρώσῃ τὰ δεκατέσσαρα ἔτη. Ἀλλὰ τοῦτο μὲν ἀπηγορεύθη πρὸς τὴν κοινὴν καὶ δημοσίαν χρῆσιν· ἐὰν ὅμως ὁ βασιλεὺς (καθὼς πολλάκις συμβαίνει) πράττων οἰκονομίαν τινὰ καὶ μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας ἕνωσιν τῶν μνηστευομένων ἐπιτρέπει εἰς χρόνον ὀλιγώτερον τῶν διορισθέντων ἐτῶν, τοῦτο οὐδόλως ἀντίκειται εἰς τὸν νόμον· διότι οἱ ἀπὸ Θεοῦ προχειρισμένοι τὴν οἰκονομίαν τῶν κοσμικῶν πραγμάτων δύνανται νὰ ἐνεργήσωσί τι παρὰ τὸν νόμον ὅστις διέπει τοὺς ὑπηκόους.

12. Ἡ δὲ νεαρὰ τοῦ καίσαρος Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκεῖναι λέγει ὅτι εἶναι κυρίως μνηστεῖαι καὶ ἀληθῶς ἰσοδυναμοῦσι μὲ γάμον, ὅσαι καὶ τὸν χρόνον τὸν ὁρισθέντα ὑπὸ τῆς νεαρᾶς τοῦ βασιλέως Λέοντος διαφυλάττουσιν ἀκέραιον καὶ τὴν ἱερὰν εὐλογίαν μετὰ ταῦτα ἔλαβον. Ἐὰν δὲ μνηστεῖαί τινες ἔγεινον ἤδη κατὰ τὸν συνήθη εἰς τοὺς πολλοὺς τρόπους καὶ προικοσύμφωνα μὲν ἐγράφησαν, δὲν ἔρθασε δὲ ἀκόμη ὁ ὡρισμένος καιρὸς καθ' ὃν συνηθίζεται νὰ γίνεται ἡ εἰς τοὺς χριστιανοὺς ὀφειλομένη εὐλογία, καὶ οὐδὲ αἱ συνήθεις εἰς τοὺς μνηστευθέντας εὐχαὶ διὰ τοῦ ἱερέως

ἐκκλησιαστικὴν ἀκριβολογίαν μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι· ὡς ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων δι' ἐπερωτήσεως κατησφαλισμένας τὸ ἐνεργὸν ἐπιφέρεσθαι. (*)

13. Ὅτι ἐὰν ἀτελὴς γένηται μνηστεία καὶ οὔπω δεκτὴ γάμου, παράνομός ἐστιν καὶ ἀντ' οὐδενὸς λογίζεται. (Β. XXVIII. 1. 13).

14. Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν· ἐπιγενομένη δὲ οὐ λύει τὴν συστᾶσαν. (Β. XXVIII. 1. 6).

15. Ἡ δὲ ριά. νεαρὰ τοῦ Καίσαρος Λέοντος καὶ ἡ ριβ'. τοῦ αὐτοῦ καὶ μανίας ἐπιγενομένης τῇ μνηστείᾳ λύεσθαι τὸν γάμον διορίζονται· πλὴν εἰ μὲν πρὸ τοῦ γάμου ἡ κατὰ τὴν ἡμέραν τοῦ γάμου ἡ μανία ἑνὶ τῶν μνηστήρων ἐπιγένηται, αὐτίκα, φασὶ, καὶ ἡ διάλυσις τοῦ γάμου γενήσεται· εἰ δὲ μετὰ τὸν γάμον, εἰ μὲν ἡ μνηστὴ εἰς μανίαν περιπέσοι μὴ κατ' ἐπιβουλὴν τοῦ οἰκείου ἀνδρὸς μήτε μὴν συνειδότος αὐτοῦ τὴν πανουργίαν, ἀλλ' ἑτέρωθεν τοῦ πάθους ἐπισυμβάντος, μέχρι τρίτου ἔτους φρέιν τὴν δυστυχίαν τὸν ἄνδρα καὶ τῆς κατηρείας ἀπολαύειν· καὶ εἰ γε μὴ ἐν χρόνῳ τοσούτῳ λύσις εἴη τοῦ κακοῦ μηδὲ πρὸς τὰς οἰκείας ἐπανέλθοι φρένας ἡ τὴν μανίαν νοσοῦσα, τηνικαῦτα διασπᾶσθαι τὴν κοινωνίαν καὶ τῆς ἀνυποίστου συμφορᾶς ἐλευθεροῦσθαι τὸν ἄνδρα. Εἰ δὲ ὁ μνηστὴρ εἰς μανίαν περιπέσοι, ἐφ' ὅλοις ἔτεσι πέντε τοὺς συναπτομένους μὴ διαζεύγνυσθαι· εἰ δὲ μετὰ τὴν τοσούτου χρόνου περίοδον μὴ γένηταί τις ἀπαλλαγὴ τῆς δυστυχίας μηδὲ πρὸς ἀναρρόνησιν ὁ μεμηνὼς κατασταίη, τηνικαῦτα διατέμνεσθαι τὴν γαμήλιον κοινωνίαν, μηδεμιᾶς μηδετέρῳ μέρει προσγινομένης καινοτομίας.

16. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται πέμπειν διαζύγιον καὶ λύειν τὴν μνηστείαν. Εἰ δὲ μετὰ τὴν μνηστείαν αὐτεξουσία γέγο-

(*) Ὁ δὲ παλαιὸς νόμος ὁ θημοσιευθεὶς περὶ τῆς μνηστείας ἰσχύει εἰς μόνα τὰ ἐμποδιζόμενα πρόσωπα καθὼς τὴν χωρισθεῖσαν μνηστὴν διὰ τὴν ἰδίαν τοῦ χριστιανικοῦ πολιτεύματος κατάστασιν. Διότι τὸ γινόμενον καὶ

ἐγένοντο, αὗται μνηστεῖαι ἀκριβεῖς κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν μηδὲ εἶναι μηδὲ ὀνομάζονται· ἁπλῶς δὲ ὡς ἀρεσκείας ἀνθρώπων αἵτινες ἐκτελοῦνται διὰ τὴν ἰσχὺν τῆς συμφωνίας.

13. Ὅτι ἐὰν γείνῃ ἀτελὴς μνηστεία καὶ γάμου εἰσέτι ἀνεπίδεκτος, ἡ μνηστεία εἶναι παράνομος καὶ ὡς οὐδὲν λογίζεται.

14. Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν· μετὰ ταῦτα δ' ἐλθοῦσα δὲν διαλύει τὴν συστηθεῖσαν.

15. Ἡ δὲ (111) ριά. νεαρὰ τοῦ καίσαρος Λέοντος καὶ ἡ (112) ριβ'. τοῦ αὐτοῦ διατάττουσι νὰ διαλύεται ὁ γάμος καὶ μετὰ τὴν μνηστείαν ἐὰν ἐπισυμβῇ τρέλα· πλὴν εἰ μὲν ἐπισυμβῇ εἰς ἕνα τῶν μνηστήρων πρὸ τοῦ γάμου ἢ κατὰ τὴν ἡμέραν τοῦ γάμου, ἀμέσως λέγουσι, γίνεται καὶ τοῦ γάμου ἡ διάλυσις· εἰ δὲ μετὰ τὸν γάμον, ἐὰν μὲν ὑποπέσῃ εἰς παραφροσύνην ἡ γυνὴ χωρὶς ἐπιβουλὴν τοῦ ἀνδρὸς αὐτῆς καὶ χωρὶς αὐτὸς νὰ γνωρίζῃ τὸν δόλον, ἀλλ' ἄλλοθεν ἐπέλθῃ τὸ πάθος, ὑποφέρει ὁ ἀνὴρ τὴν δυστυχίαν μέχρι τρίτου ἔτους καὶ ὑπομένει τὴν κατήρειαν· καὶ ἐὰν εἰς τόσον χρόνον δὲν διαλυθῇ τὸ κακὸν μηδὲ ἐπανέλθῃ εἰς τὰς φρένας της ἡ εἰς τρέλαν ὑποπεσοῦσα, τότε διαλύεται τὸ συνοικέσιον καὶ ὁ ἀνὴρ ἐλευθεροῦται ἀπὸ τὴν ἀνυπόφορον συμφοράν. Εἰ δὲ ὁ μνηστὴρ ὑποπέσῃ εἰς μανίαν, ἐπὶ πέντε ὁλόκληρα ἔτη δὲν χωρίζονται οἱ συναπτόμενοι· ἐὰν δὲ μετὰ τὴν παρέλευσιν τοῦ χρόνου τούτου δὲν γείνῃ καμμία ἀπαλλαγὴ τῆς δυστυχίας μηδὲ ἀναλάβῃ ὁ παράφρων, τότε διαλύεται τὸ συνοικέσιον ἄνευ καμμίας βλάβης τῶν μερῶν.

16. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται νὰ στέλλῃ διαζύγιον καὶ νὰ διαλύῃ τὴν μνηστείαν· ἐὰν δὲ μετὰ τὴν μνηστείαν ἔγεινεν αὐ-

κατ' ἀκρίβειαν ἐὰν δὲν ἦναι ἐντελὴς μνηστεία, ἀλλ' ὡς ὑπολαμβανόμενον ὅτι ἔχει μνηστείας σκοπὸν καὶ ἐκ τούτου προϋποβαλλόμενον ὡς γάμου θεμέλιον, καλὸν θὰ ἦτον τὰ ἐμποδιζόμενα ἀπὸ τὸν νόμον πρόσωπα νὰ ἐμποδίζωνται πάλιν καὶ κανεὶς νὰ μὴ λαμβάνῃ εἰς γυναῖκα ἐκείνην, τὴν ὁποίαν ὡς ὑπάρχουσαν μνηστὴν τινος ὁ παλαιὸς νόμος δὲν ἐσυγχώρησε νὰ ὑπανδρεύηται ἄλλον μετὰ τῆς μνηστείας τὴν διάλυσιν.

νεν ἡ θυγάτηρ, οὐ δύναται λοιπὸν ὁ πατὴρ τὴν ἤδη γενομένην καταλύειν μνηστείαν· ὅθεν κἂν τινα λόγῳ προικὸς ἐπιδέδωκεν ἐν τῇ τοιαύτῃ μνηστείᾳ, οὐδὲ ταῦτα ἀναλαμβάνεσθαι δύναται, αὐτεξουσίας ὡς εἴρηται γενομένης τῆς κόρης.

17. Ὁ μνηστευσάμενος κόρην καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, εἴσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ εἴσω τριετίας· εἰ δὲ ὑπέρθηται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι. (B. XXVIII. 1. 16).

18. Ἐξ εὐλόγου αἰτίας καὶ περαιτέρω τετραετίας ὑπερτίθεται ἡ μνηστεία, τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς ἢ θάνατον γονέων ἢ διὰ κεφαλικὰ ἐγκλήματα ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γινομένας. (B. XXVIII. 1. 17.)

19. Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ καὶ διὰ μέσου καὶ δι' ἐπιστολῆς.

20. Καὶ μεταξὺ ἀπόντων γίνεται μνηστεία, ἐὰν μέντοι δέξωνται τὸ πραχθέν. (B. XXVIII. 1. 2).

21. Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι. (B. XXI. 2. 10).

22. Οἱ τῶν μαινομένων παῖδες κἂν ὑπεξούσιοι ὦσιν, οὐ δέονται τῆς τῶν πατέρων αὐτῶν συναινέσεως, γάμῳ συναλλάσοντες δηλονότι καὶ μνηστείᾳ· ἀλλ' ἐν μὲν Κωνσταντινουπόλει κρίσει τοῦ ἐπάρχου τῆς πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις κρίσει τοῦ ἄρχοντος ἢ τοῦ ἐπισκόπου παρουσίᾳ τοῦ κουράτωρος τοῦ ἰδίου πατρὸς τὸν γάμον ἐπιτελοῦσι. (B. XXXIII. 4. 37).

23. Μετὰ τὸ συστῆναι τὴν μνηστείαν οὐ δύνανται οἱ τῆς κόρης γενήτορες ἀναγκάζειν τὸν μνηστῆρα παρέχειν ἐγγυητὴν καὶ λαμβάνειν τὴν προῖκα δαπανηρὸν ὄντα πολλάκις ἢ μὴ διδόντος διαλύειν τὴν μνηστείαν· ἀλλ' ἐκ παντὸς μὲν τελεῖται ὁ γάμος, παρέχεται δὲ ἡ προῖξ καὶ ἐν συνεστῶτι τῷ γάμῳ εἰ βλέπει ἡ γυνὴ δαπανωμένην τὴν προῖκα, τότε δύναται κινεῖν.

24. Περὶ τοῦ ἀπαιτεῖσθαι τὸ γαμικὸν πρόστιμον ἡ δεκάτη νεαρὰ τοῦ Καίσαρος Λέοντός φησιν. Οὕτως οὖν καὶ ἀπὸ τοῦ νῦν κε-

τεξουσία ἡ θυγάτηρ, δὲν δύναται πλέον ὁ πατὴρ νὰ διαλύσῃ τὴν ἤδη συστηθεῖσαν μνηστείαν· ὅθεν καὶ ἐὰν λόγῳ προικὸς ἔδωκέ τι εἰς τὴν τοιαύτην μνηστείαν, οὐδὲ ταῦτα δύναται ν' ἀναλαμβάνῃ, τῆς κόρης γενομένης ὡς ἐλέχθη αὐτεξουσίας.

17. Ὁ μνηστευθεὶς κόρην καὶ μὴ συμφωνήσας εἰς τὴν μνηστείαν χρόνον ὀφείλει, εἰ μὲν μένει εἰς τὴν αὐτὴν ἐπαρχίαν, νὰ νυμφευθῇ αὐτὴν ἐντὸς διετίας· εἰ δὲ ἀπουσιάζει ἐντὸς τριετίας· εἰ δὲ ἀναβάλλει, δύναται ἡ κόρη νὰ ὑπανδρευθῇ ἄλλον.

18. Δι' εὔλογον αἰτίαν καὶ περαιτέρω τετραετίας ἀναβάλλεται ἡ μνηστεία, δι' ἀσθένειαν τυχὸν τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς ἢ θάνατον γονέων ἢ διὰ κεφαλικὰ ἐγκλήματα ἢ μακρᾶς ἐξ ἀνάγκης ἀποδημίας.

19. Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ καὶ διὰ μέσου ἄλλου καὶ δι' ἐπιστολῆς.

20. Καὶ μεταξὺ ἀπόντων γίνεται μνηστεία, ἐὰν ὅμως δεχθῶσι τὸ γινόμενον.

21. Τὸ διὰ τὸν ἄνδρα πένθος δὲν ἐμποδίζει τὴν γυναῖκα νὰ μνηστευθῇ.

22. Τὰ τέκνα τῶν τρελῶν καὶ ἂν ἦναι ὑπεξούσια δὲν ἔχουσι χρείαν τῆς συναινέσεως τῶν πατέρων αὐτῶν, ὅταν δηλ. συμφωνῶσι περὶ γάμου ἢ μνηστείας· ἀλλ' εἰς μὲν τὴν Κωνσταντινούπολιν νυμφεύονται κατ' ἀπόφασιν τοῦ ἐπάρχου τῆς πόλεως, εἰς δὲ τὰς ἐπαρχίας κατ' ἀπόφασιν τοῦ δικαστοῦ ἢ τοῦ ἐπισκόπου παρουσίᾳ τοῦ κηδεμόνος τοῦ πατρός των.

23. Μετὰ τὴν σύστασιν τῆς μνηστείας οἱ γονεῖς τῆς κόρης δὲν δύνανται νὰ ἀναγκάζωσι τὸν μνηστῆρα νὰ δίδῃ ἐγγυητὴν καὶ νὰ λαμβάνῃ τὴν προῖκα ὡς ὄντα πολλάκις πολυέξοδον ἢ ἐὰν δὲν δίδῃ νὰ διαλύωσι τὴν μνηστείαν· ἀλλ' ὁ μὲν γάμος ἐξάπαντος τελεῖται, ἡ δὲ προῖξ παραδίδεται καὶ ἐὰν συνεστῶτος τοῦ γάμου ἡ γυνὴ βλέπῃ ὅτι ἐξοδεύεται ἡ προῖξ, τότε δύναται νὰ κινῇ.

24. Περὶ ἀπαιτήσεως τοῦ γαμικοῦ προστίμου ἡ δεκάτη νεαρὰ τοῦ καίσαρος Λέοντος λέγει. Οὕτω λοιπὸν καὶ ἀπὸ τὴν σήμερον

λεύσματι νόμου τὸ ὑπὸ τῆς συνηθείας βεβαιωθὲν καὶ κρατείτω καὶ διαιτάτω, καθάπερ ἄχρι τοῦ παρόντος καὶ προστίμου εἰσπράξει ὁ τὴν μνηστείαν ἀνατρέπων ζημιούσθω.

25. Λύεται ἡ μνηστεία καὶ εἰ ἐξ ἀλλοτρίων σπερμάτων ἐγγάστριος ἡ γυνὴ πεφώραται. Καὶ διὰ καινοτάτην θρησκείαν ἀγνοηθεῖσαν καὶ δογμάτων διαφορὰν καὶ διὰ τρόπων αἰσχρότητα· ἢ τύχης ἐναλλαγὴν ἢ δι' ἀπόκαρσιν ἀληθῆ καὶ τὴν πρὸς τὸν μονήρη βίον μετάβασιν ἢ διὰ τὸ ὑποκεῖσθαι τὴν οὐσίαν αὐτῆς ἢ ἄλλῳ λειτουργήματι ἔνοχον εὑρεθῆναι.

26. Οἱ τῶν αἱρετικῶν παῖδες ἐὰν γένωνται Χριστιανοὶ ἀναγκάζουσι τοὺς ἰδίους γονεῖς τρέφειν αὐτοὺς καὶ ἐνδύειν καὶ προῖκα ἢ προγάμου δωρεὰν ὑπὲρ αὐτῶν δοῦναι κατὰ τὸ μέτρον τῆς οὐσίας αὐτῶν.

ΤΙΤΑ. Β'. — Περὶ Ἀρραβώνων μνηστείας.

1. Ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην, ἵνα ὁ μὲν λαβὼν τὸν ἀῤῥαβῶνα εἰ παραιτήσεται, διπλάσιον ὅπερ ἔλαβεν, ἀποδῷ· εἰ δὲ ὁ δεδωκὼς, ἵνα ἐκπέσῃ τῶν ἀῤῥαβώνων. (Β. XXII. 1. 76.)

2. Ἀῤῥαβώνων δὲ ἐπ' ὀνόματι μνηστείας δοθέντων, ἐὰν ἐν τῷ μεταξὺ ὁ μνηστὴρ ἢ ἡ μνηστὴ τελευτήσῃ πρὸ τοῦ τὸν γάμον γενέσθαι τὰ δοθέντα χάριν ἀῤῥαβῶνος κελεύομεν ἀποκαταστῆναι, εἰ μὴ ἄρα αἰτίαν εἰς τὸ μὴ ἐπιτελεσθῆναι τοὺς γάμους τὸ τελευτῆσαν πρόσωπον ἴδῃ παρέσχεν (Β. XXVIII. 2. 2.)

3. Πολλάκις πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς δεξάμενος ἀῤῥαβῶνα τελευτᾷ, μηδέπω γενομένων τῶν γάμων· εἶτα μετὰ τὸν ἐκείνου θάνατον ἡ ἐπίτροπος ἢ κουράτωρ παρασκευάζει λυθῆναι τὴν μνηστείαν· λέγει οὖν ἡ διάταξις ὅτι οὐ χρὴ τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα καὶ συναρέσαντα παραχαράττεσθαι.

4. Οἱ ἑτερόδοξοι ἐν ἀγνοίᾳ εἰ ποιούμενοι πρὸς ἑαυτοὺς μνηστείαν δώσουσιν ἀῤῥαβῶνας, δύνανται ἀναλαβεῖν, εἴ τι δεδώκασι, λύοντες τὴν μνηστείαν· εἰ γὰρ ᾔδεισαν τὸ ἀλλότριον τῆς πίστεως καὶ

ἂς ἰσχύῃ καὶ ἂς κρατῇ ὡς νόμου διάταξις τὸ ὑπὸ τῆς συνηθείας καθιερωθὲν, καθὼς μέχρι τοῦ παρόντος καὶ ὁ ἀνατρέπων τὴν μνηστείαν ἂς τιμωρῆται μὲ πρόστιμον καταβολῆς.

25. Διαλύεται ἡ μνηστεία καὶ ἐὰν ἡ γυνὴ φωραθῇ ἔγκυος ἀπὸ ἄλλον. Καὶ διὰ κρυφὴν λατρείαν νεωτάτης θρησκείας καὶ δογμάτων διαφορὰν καὶ διὰ αἰσχρότητα τρόπων· ἢ καταστάσεως ἀλλαγὴν ἢ δι' ἀληθῆ κουρὰν καὶ πρὸς τὸν μοναχικὸν βίον μετάβασιν ἢ δι' ὑποχρεώσεις τῆς περιουσίας αὐτῆς ἢ εὑρεθῇ ἔνοχος πρὸς ἄλλην δημοσίαν ὑπηρεσίαν.

26. Τὰ τέκνα τῶν αἱρετικῶν ἐὰν γίνωσι Χριστιανοὶ, ἀναγκάζουσι τοὺς γονεῖς των νὰ τρέφωσι καὶ ἐνδύωσιν αὐτὰ καὶ νὰ δώσωσιν ὑπὲρ αὐτῶν προῖκα ἢ προγαμιαίαν δωρεὰν ἀναλόγως τῆς περιουσίας των.

ΤΙΤΑ. Β'. — Περὶ ἀῤῥαβώνων μνηστείας.

1. Ὁ ἀῤῥαβὼν τοιαύτην ἔχει φύσιν, ὥστε ὁ μὲν λαβὼν τὸν ἀῤῥαβῶνα ἐὰν παραιτηθῇ, ἀποδίδει διπλάσιον τὸ ληφθὲν· ὁ δὲ δώσας, χάνει τοὺς ἀῤῥαβῶνας.

2. Ὅταν δοθῶσιν ἀῤῥαβῶνες ἐπ' ὀνόματι μνηστείας, ἐὰν εἰς τὸ μεταξὺ ὁ μνηστὴρ ἢ ἡ μνηστὴ ἀποθάνῃ, πρὶν τελεσθῇ ὁ γάμος, τὰ δοθέντα ὡς ἀῤῥαβῶν διατάσσομεν νὰ ἀποδίδωνται, ἐκτὸς ἐὰν τὸ ἀποθανὸν ἤδη πρόσωπον ἔδωκεν αἰτίαν εἰς τὸ νὰ μὴ γείνῃ ὁ γάμος.

3. Πολλάκις πατὴρ δεχθεὶς ἀῤῥαβῶνα ὑπὲρ τῆς ἰδίας του θυγατρὸς ἀποθνήσκει πρὶν ἀκόμη γείνῃ ὁ γάμος· ἔπειτα μετὰ τὸν θάνατον ἐκείνου ἡ ἐπίτροπος ἢ κηδεμὼν ὀργανίζει νὰ διαλυθῇ ἡ μνηστεία· λέγει λοιπὸν ἡ διάταξις ὅτι δὲν πρέπει νὰ παραβιάζωνται τὰ ζῶντος τοῦ πατρὸς συμφωνηθέντα καὶ ἀρέσαντα.

4. Οἱ ἑτερόδοξοι ἐὰν ἀγνοοῦντες τοῦτο μνηστευθῶσι πρὸς ἀλλήλους, δύνανται ν' ἀναλάβωσιν ὅ,τι ἔδωκαν, διαλύοντες τὴν μνηστείαν· ἐὰν ὅμως ἐγνώριζον τὴν διαφορὰν τῆς θρησκείας καὶ ἔδω-

ἔδωκαν ἀῤῥαβῶνας γάμου, τότε ὁ μὲν ἀνὴρ ζημιοῦται ἃ ἔδωκεν, ἡ δὲ γυνὴ δίδωσιν ἐν διπλῷ ἃ ἐδέξατο.

5. Ἐὰν γυνὴ αὐτεξουσία τελείαν ἄγουσα ἡλικίαν ἀῤῥαβῶνας δεξαμένη παραιτῆται τὸν γάμον, διπλοῦς ἀναδιδότω αὐτούς· εἰ δὲ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω. Ἐὰν δὲ ἀφήλιξ ἐστὶ καὶ αὐτὴ συγγνώμην ἡλικίας οὐκ ᾔτησεν, αὐτὸ τὸ ἁπλοῦν ὅπερ ἔλαβεν, ἀποκαταστήσει, φαινόμενον εἶναι παρ' αὐτῇ· οὐ δεῖ γὰρ αὐτὴν κερδᾶναι ἐξ ἑτέρου ζημίας, κἂν ἀφήλιξ ἐστίν· εἰ δ' ἐδαπανήθη τὸ πρᾶγμα, οὐ ζημιωθήσεται ὑπὲρ αὐτοῦ ἡ γυνή.

6. Γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας τοῖς μὲν ἀνδράσιν ἀπὸ εἰκοστοῦ χρόνου ἕως κέ. τοῖς δὲ θηλείαις ἀπὸ ὀκτὼ καὶ δεκάτου μέχρι τοῦ κέ χρόνου· αἰτούμενοι Βασιλέα ἀπώσασθαι τοὺς κουράτωρας αὐτῶν, ὡς αὐτοὶ μόνοι τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα δυνάμενοι, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι· καὶ τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι τὰ τῶν τελείων, οὐ μέντοιγε χωρὶς δεκρέτου ἐκποιοῦνταί τι τῶν αὐτοῖς προσηκόντων. (Β. Χ. 27. 2).

7. Εἰ δὲ καὶ πατὴρ κόρης ἢ μήτηρ ἀῤῥαβῶνας ἔλαβεν ἢ πάππος ὑπὲρ ἐγγόνης τελείας οὔσης ἡλικίας, καὶ αὐτοὶ διπλάσιον παρεσχέσθωσαν, εἴπερ δυνάμενοι προβῆναι τοὺς γάμους, παραιτοῦνται ποιῆσαι. Εἰ δὲ ἀνυπόστατος ὁ γάμος μέλλει εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοῦ· εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι' εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοὺς ἐγκαλείτωσαν διὰ τί τὸν τοιοῦτον ἐμνηστεύσαντο· εἰ δὲ ἠγνόουν ἢ πολλάκις ἡ αἰτία μετὰ τὴν μνηστείαν συμβῇ, τὸ ἁπλοῦν ἀποδιδόσθω. Τὰ δὲ αὐτὰ καὶ περὶ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτησαμένου.

8. Εἰ καὶ νόμοις ἀπηγορευμένοι οὐκ εἰσιν οἱ ἐλπισθέντες γάμοι, μετὰ δὲ τοὺς δοθέντας ἐπὶ μνήστροις ἀῤῥαβῶνας ἡ μνηστὴ τὴν συνάφειαν τοῦ μνηστῆρος διὰ τὴν αἰσχρὰν αὐτοῦ ἢ ἄσωτον ἀναστροφὴν ἢ τὴν τῆς θρησκείας ἢ τοῦ δόγματος διαφορὰν παραι-

καν ἀῤῥαβῶνας γάμου, τότε ὁ μὲν ἀνὴρ ζημιοῦται ὅσα ἔδωκεν, ἡ δὲ γυνὴ ἀποδίδει διπλάσια τὰ ὅσα ἔλαβεν.

5. Ἐὰν γυνὴ αὐτεξουσία ἐνήλικος δεχθῇ ἀῤῥαβῶνας καὶ παραιτήσῃ τὸν γάμον, ἀποδίδει αὐτοὺς διπλοῦς· ἐὰν δὲ ἀνήλικος οὖσα ἐζήτησε συγγνώμην ἡλικίας καὶ ἔλαβεν ἀῤῥαβῶνας, πάλιν ἀποδίδει τὸ διπλάσιον· ἐὰν δὲ ἦναι ἀνήλιξ καὶ δὲν ἐζήτησε συγγνώμην ἡλικίας, ἀποδίδει ἁπλοῦν αὐτὸ τὸ ληφθέν, τὸ ὁποῖον φαίνεται ὅτι αὐτὴ ἔχει· διότι δὲν πρέπει αὐτὴ νὰ κερδήσῃ μὲ ζημίαν ἄλλου, καὶ ἐὰν ἦναι ἀνήλικος· ἐὰν δὲ τὸ πρᾶγμα ἐξοδεύθη, δὲν ζημιοῦται δι' αὐτὸ ἡ γυνή.

6. Τὴν δὲ συγγνώμην τῆς ἡλικίας ζητοῦσιν οἱ μὲν ἄνδρες ἀπὸ τὸ εἰκοστὸν ἕως τὸ εἰκοστὸν πέμπτον ἔτος, αἱ δὲ γυναῖκες ἀπὸ τὸ δέκατον ὄγδοον ἕως τὸ εἰκοστὸν πέμπτον ἔτος· παρακαλοῦντες τὸν βασιλέα νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τοὺς κηδεμόνας αὐτῶν, ὡς δυνάμενοι μόνοι νὰ ἐπιμελῶνται τὰ ἴδιά των πράγματα, μαρτυρίαν εἰς τοῦτο φέροντες τὴν καλήν των ὑπόληψιν· καὶ τότε μετὰ τὴν αἴτησιν ἐνεργοῦσιν ὡς ἐνήλικοι, χωρὶς ὅμως ἀδείας δὲν ἐκποιοῦσι τι ἀπὸ τὰ ὑπάρχοντα αὐτῶν.

7. Ἐὰν δὲ καὶ πατὴρ ἢ μήτηρ κόρης ἢ πάππος ὑπὲρ ἐγγόνης ἐνηλίκου ἔλαβεν ἀῤῥαβῶνα, καὶ αὐτοὶ ἀποδίδουσι τὸ διπλάσιον, ἐὰν δυνάμενοι νὰ τελέσωσι τοὺς γάμους, ἀποποιῶνται. Ἐὰν δὲ ὁ γάμος δὲν δύναται νὰ συστηθῇ, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀποδίδονται ἁπλοῦ· ἐὰν δὲ ὁ γάμος ἦτον συστατὸς, τὸν παραιτοῦσιν ὅμως δι' εὔλογον αἰτίαν, εἰ μὲν ἐγνώριζον τὴν αἰτίαν καὶ πρὸ τῆς μνηστείας, ἂς μέμφωνται ἑαυτοὺς, διότι ἐμνήστευσαν τὸν τοιοῦτον· ἐὰν δὲ ἠγνόουν τὴν αἰτίαν ἢ συμβῇ πολλάκις μετὰ τὴν μνηστείαν ἀποδίδεται τὸ ἁπλοῦν. Τὰ αὐτὰ δὲ λέγομεν καὶ περὶ μνηστῆρος παραιτήσαντος τὴν μνηστείαν.

8. Ἐὰν ὁ ἐλπισθεὶς γάμος δὲν ἀπαγορεύηται ἀπὸ νόμους, μετὰ δὲ τοὺς δοθέντας πρὸς μνηστείαν ἀῤῥαβῶνας ἡ μνηστὴ παραιτήσῃ τὴν συνάφειαν τοῦ μνηστῆρος διὰ τὴν αἰσχρὰν ἢ ἄσωτον αὐτοῦ συναναστροφὴν ἢ διὰ τὴν διαφορὰν τῆς θρησκείας ἢ τῶν δογμά-

τεῖται, ἢ διὰ τοῦτο ὅτι ὡς ἀνὴρ συνάφειαν, ἐξ ἧς ἐλπὶς γονῆς τίκτεται, ποιεῖν οὐ δύναται, ἢ δι' ἄλλην εὔλογον παραιτήσεως αἰτίαν· εἰ μὲν ἀποδειχθῇ, πρὸ τοῦ δοθῆναι τοὺς αὐτοὺς ἀῤῥαβῶνας τοῦτο αὐτὸ τὴν γυναῖκα ἢ τοὺς αὐτῆς γονεῖς ἐγνωκέναι, ἑαυτοὺς ὀφείλουσιν ἐγκαλεῖν· ἐὰν δὲ ταῦτα ἀγνοοῦντες τοὺς ἐπὶ τῇ μνηστείᾳ ἀῤῥαβῶνας ἐδέξαντο ἢ μετὰ τοὺς δοθέντας ἀῤῥαβῶνας αἰτία τις εὔλογος μεταμελείας παρενετέθη, αὐτῶν μόνων ἀποδιδομένων, περὶ τῆς ἄλλου ἁπλοῦ τιμωρίας ἐλεύθεροι φυλαττέσθωσαν. (B. XXVIII. 2. 3.)

9. Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας, ἧς ἄρχουσι μνηστεύεσθαι· εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτοῖς ἢ ἐπιτρόποις ἢ κουράτορσι παραιτεῖσθαι τὸν γάμον καὶ κερδαίνειν τοὺς ἀῤῥαβῶνας. Τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν καὶ ἐγγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ συγκαθέδρων καὶ ἐπὶ πάντων τῶν οἰκείων αὐτῶν, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο. Εἰ μέντοιγε μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναρθῆναι αὐτῷ, ἔῤῥωται ὁ γάμος. Σημείωσαι δὲ ὅτι τότε κωλύει τὸ συνάλλαγμα, ὅτε ὁ τὸ ὁρρίκιον χειρίζων, (ἦγουν ἐνέργειάν τινα καὶ ἀρχὴν μεταχειριζόμενος), δύναται φοβερὸς εἶναι τοῖς γονεῦσι τῆς κόρης· ὡς εἴγε ἄρχων μὲν ἦν, οὐκ ἦν δὲ ἱκανὸς κωλῦσαι τοὺς τῆς κόρης γονεῖς, οὐ κεκώλυται ἡ μνηστεία.

10. Καὶ ἡ δεκάτη καὶ ἑ. νεαρὰ τοῦ καίσαρος Λέοντος οὕτω φησί· θεσπίζομεν, ὥσπερ τοὺς υἱοὺς καὶ τοὺς ἄλλους ἄῤῥενας συγγενεῖς καὶ οἰκείους, οὕτω καὶ θυγατέρας καὶ τὰ ἄλλα τοῦ θήλεως μέρους πρόσωπα τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ διαλαχόντων ἄρχειν εἰς μνηστείαν διδόναι κωλύεσθαι.

11. Ἐὰν μνηστὴρ ἢ καὶ μνηστὴ μετὰ τὸ λαβεῖν ἀῤῥαβῶνας ἢ καὶ δοῦναι τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας· ἡ δὲ μνηστὴ οὓς ἔλαβεν, ἀναδίδωσι μόνον καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρασχεῖν, τῆς ποινῆς ἑκατέρου μέρους συγχωρουμένης.

των ἢ διὰ τὴν ἀνικανότητα τοῦ ἀνδρὸς πρὸς τεκνοποιΐαν ἢ δι' ἄλλην εὔλογον αἰτίαν· εἰ μὲν ἀποδειχθῇ ὅτι πρὶν δοθῶσιν οἱ ἀῤῥαβῶνες ἐγνώριζον τοῦτο ἡ γυνὴ ἢ οἱ γονεῖς αὐτῆς, ὀφείλουσι νὰ μέμφωνται ἑαυτούς· ἐὰν δὲ ταῦτα ἀγνοοῦντες ἐδέχθησαν τοὺς διὰ τὴν μνηστείαν ἀῤῥαβῶνας ἢ μετὰ τοὺς δοθέντας ἀῤῥαβῶνας παρενέπεσεν εὔλογος αἰτία μεταμελείας, ἀφοῦ ἀποδώσωσιν αὐτοὺς μόνους, ἀπαλλάττονται ἀπὸ τὸ πρόστιμον.

9. Οἱ ἄρχοντες δὲν πρέπει νὰ μνηστεύωνται ἀπὸ τὴν ἐπαρχίαν τὴν ὁποίαν διοικοῦσιν· ἐὰν δὲ πράξωσι τοῦτο, δύναται ἡ κόρη καὶ οἱ γονεῖς αὐτῆς ἢ ἐπίτροποι ἢ κηδεμόνες νὰ παραιτῶσι τὸν γάμον καὶ νὰ κερδαίνωσι τοὺς ἀῤῥαβῶνας. Τὸ αὐτὸ ἰσχύει καὶ ἐπὶ υἱῶν καὶ ἐγγόνων καὶ συγγενῶν καὶ οἰκείων καὶ συγκαθέδρων καὶ ἐφ' ὅλων τῶν οἰκείων αὐτῶν, ἐὰν κατὰ συνέργειαν τοῦ ἄρχοντος ἐμνηστεύθησαν. Ἐὰν ὅμως θέλῃ ἡ κόρη νὰ συναρθῇ μὲ αὐτὸν μετὰ τὴν παῦσιν τῆς ἀρχῆς του, ἰσχύει ὁ γάμος. Σημείωσαι δὲ ὅτι τότε ἀπαγορεύονται, ὅταν ὁ διοικῶν τὴν ἀρχὴν, ἤτοι ὁ ἔχων ἐξουσίαν τινὰ καὶ ἀρχὴν, δύναται νὰ φοβίζῃ τοὺς γονεῖς τῆς κόρης· ὥστε εἰ μὲν ἦτον ἄρχων, δὲν ἠδύνατο δὲ νὰ βιάσῃ τοὺς γονεῖς τῆς κόρης, ἡ μνηστεία δὲν ἀπαγορεύεται.

10. Καὶ ἡ δεκάτη πέμπτη νεαρὰ τοῦ καίσαρος Λέοντος οὕτω λέγει· διατάττομεν ὅτι καθὼς οἱ υἱοὶ καὶ οἱ ἄλλοι ἄῤῥενες συγγενεῖς καὶ οἰκεῖοι, οὕτω καὶ θυγατέρες καὶ ἄλλα θηλυκὰ πρόσωπα ἀπαγορεύονται νὰ μνηστεύωνται τοὺς διορισθέντας νὰ διοικῶσιν εἰς ἑκάστην ἐπαρχίαν.

11. Ἐὰν μνηστὴρ ἢ καὶ μνηστὴ μετὰ παραλαβὴν ἢ δόσιν ἀῤῥαβώνων ἀγαπήσῃ τὸν μοναχικὸν βίον, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει ὅσους ἀῤῥαβῶνας ἔδωκεν, ἡ δὲ μνηστὴ ἀποδίδει μόναν ὅσους ἔλαβε καὶ δὲν ἀναγκάζεται νὰ δώσῃ τὸ διπλάσιον, τῶν δύο μερῶν ἀπαλλαττομένων τοῦ προστίμου.

ΤΙΤΛ. Γ'. — Περὶ Δωρεῶν Μνηστείας.

1. Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούληται τὸ ἐν τῇ συνηθείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ μελλούσῃ αὐτῷ γαμεῖσθαι· εἰ μὲν δωρήσηται αὐτῇ πράγματα ἰδικῶς καὶ μετὰ ταῦτα δέξηται αὐτὰ παρ' αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶν, ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προῖξ συνίσταται, ὡς ἐπιδόσεως προελθούσης. Ἐὰν δὲ γράψῃ μόνον, ὅτι ὑπεδέξατο προῖκα μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις τῶν μὴ ἐπιδοθέντων αὐτῷ πραγμάτων. (B. XXVIII. 3. 1.)

2. Τῶν προγαμιαίων δωρεῶν αἱ δεσποτεῖαι ὀφείλουσιν ἐντεῦθεν ἤδη συνίστασθαι, ὑπὸ αἵρεσιν δὲ ἀνατρέπεσθαι, ἐὰν μὴ προβῶσιν οἱ γάμοι.

3. Ἐάν τις δωρήσηται τῇ μνηστῇ πράγματα ἐπὶ τούτῳ τῷ ὅρῳ, ἵνα ὅτε προβῇ ὁ γάμος, τότε γένηται αὐτῶν δέσποινα, ἄχρηστός ἐστιν ἡ τοιαύτη δωρεὰ καὶ ὁ λογισμὸς δῆλος· εἰς καιρὸν γὰρ ἀναφέρεται γάμου, ἐν ᾧ μεταξὺ τῶν συνοικούντων σύστασιν οὐ δέχεται δωρεά. Καὶ εἰκότως· συνισταμένου γὰρ τοῦ γάμου οὐ δύναται ὁ ἀνὴρ δεσπότης γενέσθαι πράγματος τῇ γυναικὶ διαρρέοντος, ἢ ἡ γυνὴ δεσπόσαι πράγματος ἀνήκοντος τῷ ἀνδρί. Εἰ μὲν γὰρ ὡς μνηστῇ ὁ ἀνὴρ ἐδωρήσατο, ἔῤῥωται ἡ δωρεά· ἐπεὶ δ' ὡς γυναικὶ ἐδωρήσατο (τοῦτο γὰρ δῆλοι, ὅτε προβῇ ὁ γάμος), ἀνίσχυρός ἐστιν ἡ τοιαύτη κατὰ τὸν κανόνα τὸν λέγοντα, μέσον ἀνδρὸς καὶ γυναικὸς δωρεὰ οὐκ ἔῤῥωται. (B. XXVIII. 3. 4.)

4. Ὅτι ἐὰν δωρεάν τινα πραγμάτων μετὰ τῆς πρεπούσης συμμετρίας ὁ ἐλάττων τῶν εἰκοσιπέντε ἐνιαυτῶν ἐν τῷ καιρῷ τῆς μνηστείας ποιήσηται, οὐκ ἀνακαλεῖται αὐτὴν τῷ προκαλύμματι τῆς ἡλικίας (*). (B. X. 12. 1.)

(*) Ἐὰν δὲν παραδώσῃ τις εἰδικῶς εἰς τὴν ἰδίαν του μνηστὴν, ὅσα τὴν ἐδώρησε, καὶ εἰς προῖκα ἐὰν ὁμολογήσῃ ὅτι τὰ ἔλαβε, δὲν ἀπαιτῆται

ΤΙΤΛ. Γ'. — Περὶ δωρεῶν μνηστείας.

1. Ἐὰν ὁ ἀνὴρ μὴ λαβὼν προῖκα θέλῃ κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν νὰ προικίσῃ τὴν μνηστήν του ἥτις μέλλει νὰ τὸν ὑπανδρευθῇ· εἰ μὲν δωρήσῃ εἰς αὐτὴν πράγματα εἰδικῶς καὶ ὕστερον τὰ λάβῃ ἀπὸ αὐτὴν εἰς προῖκα, καὶ ἡ δωρεὰ εἶναι τελεία, ὡς γενομένη πρὸ τοῦ γάμου, καὶ ἡ προῖξ συνίσταται, ὡς προηγηθείσης τῆς παραδόσεως. Ἐὰν δὲ γράψῃ μόνον, ὅτι παρέλαβε προῖκα χωρὶς νὰ λάβῃ τίποτε, καμμία δὲν γίνεται ἀπαίτησις τῶν μὴ παραδοθέντων εἰς αὐτὸν πραγμάτων.

2. Τῶν προγαμιαίων δωρεῶν ἡ κυριότης ὀφείλει πρὸ τούτου ἤδη νὰ συνίσταται, ν' ἀνατρέπηται δὲ ὑπὸ ὅρον, ἐὰν δὲν τελεσθῶσιν οἱ γάμοι.

3. Ἐάν τις δωρήσῃ εἰς τὴν μνηστὴν πράγματα ὑπὸ τὸν ὅρον τοῦτον, ὥστε ὅταν τελεσθῇ ὁ γάμος, τότε νὰ γείνῃ κυρία αὐτῶν, ἡ τοιαύτη δωρεὰ εἶναι ἀνωρελὴς καὶ ὁ λόγος πρόδηλος· διότι ἀναφέρεται εἰς καιρὸν γάμου, καθ' ὃν μεταξὺ τῶν συζύγων δωρεὰ δὲν συνίσταται. Καὶ εὐλόγως· διότι ὑπάρχοντος τοῦ γάμου ὁ ἀνὴρ δὲν δύναται νὰ γείνῃ κύριος πράγματος ἀνήκοντος εἰς τὴν γυναῖκα ἢ ἡ γυνὴ νὰ κυριεύσῃ πρᾶγμα ἀνῆκον εἰς τὸν ἄνδρα. Διότι εἰ μὲν ὡς μνηστὴν ἐδώρησεν ὁ ἀνὴρ, ἡ δωρεὰ ἰσχύει· ἐπειδὴ ὅμως ἐδώρησεν ὡς γυναῖκα (διότι τοῦτο σημαίνει ὅταν τελεσθῇ ὁ γάμος), ἡ τοιαύτη δωρεὰ εἶναι ἀνίσχυρος, κατὰ τὸν κανόνα τὸν λέγοντα: μεταξὺ ἀνδρὸς καὶ γυναικὸς δωρεὰ δὲν ἰσχύει.

4. Ἐὰν ὁ μικρότερος τῶν εἰκοσιπέντε ἐτῶν δωρήσῃ κατὰ τὸν καιρὸν τῆς μνηστείας πράγματά τινα μετὰ τῆς πρεπούσης συμμετρίας, δὲν ἀνακαλεῖ ταῦτα προφάσει τῆς ἡλικίας.

τίποτε. Τοῦτο ἐννόει εἰς μόνην τὴν μνηστὴν περὶ τῆς ὁποίας καὶ ἐλέχθη· διότι ἂν ἐδώρησέ τις εἰς γυναῖκά του, καὶ ἂν τὴν παρέδωσε τὰ δωρηθέντα, ὀφείλει νὰ ἐπιμείνῃ εἰς τὴν αὐτὴν βούλησιν.

5. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσθαι τοὺς γάμους, ταῦτα μὴ γενομένων τῶν γάμων ἀναδίδοται αὐτῷ. (Β. XXVIII. 3. 2.)

6. Γυνή τις μέλλουσα γαμετῆσθαι δόλον ἐποίησε τῷ ἀνδρὶ περὶ τὴν προῖκα μηδὲν ῥητῶς ἐπαγγειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγάλης προικός· καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς ἢ καὶ ἐπηρωτήθη, λόγῳ μνήστρων δοθῆναι τῇ γυναικὶ ποσότητα φανερὰν, τυχὸν διακοσίων νομ. καὶ συνέστη ὁ γάμος ἐπὶ τούτοις· εἶτα ἐτελεύτησεν ὁ ἀνὴρ ἐπὶ ἀδελρῷ κληρονόμῳ· γυνὴ τοίνυν ἐκίνει κατὰ τοῦ ἀδελφοῦ καὶ κληρονόμου τοῦ ἀνδρὸς ἀπαιτοῦσα αὐτὸν τὰ ἐκ τῆς ἐπαγγελίας ἤγουν ἐπερωτήσεως. Ἀντιγράφει οὖν ἡ διάταξις οὕτω πρὸς τὸν ἀδελφόν· τὴν γὰρ ἐπαγγελίαν ἀπὸ τοῦ ποτέ σου ἀδελφοῦ μνήστρων ἕνεκεν γενομένην καὶ εἰς ἐπερώτησιν κατενεχθεῖσαν ἐπιζητεῖ ἡ γυνὴ, διὰ τοῦτο οὐκ ὀφείλει παρεσχεθῆναι αὐτῇ, ἐπειδὴ ἐν τῇ προικὶ τὸν ἄνδρα ἠπάτησεν. (Β. XXVIII. 3. 3.)

7. Ἐπειδὴ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ καὶ τῇ γαμετῇ, ἐζητεῖτο ἆρα ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται, ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστιν. Λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν, ποῦ τῆς γυναικὸς οὔσης ἡ δωρεὰ γέγονεν· ἵνα εἰ μὲν ἐν τῷ οἴκῳ ἦν τῷ ἰδίῳ, δόξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι, διὸ καὶ ἔῤῥωται· εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς, πρὸς γαμετήν· (ἔκτοτε γὰρ γαμετὴ καὶ οὐ μνηστὴ δοκεῖ εἶναι ἡ γυνή). (Β. XXVIII. 3. 6.)

8. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται, τοῦ γάμου δηλονότι λυομένου· (οὐ δεῖ γὰρ τῷ Βασιλεῖ εἰς βλάβην ἑτέρων κενὰς χάριτας διδόναι). (Β. XXVIII. 3. 9.)

9. Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ καὶ μετὰ τοῦτο ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συνέβη, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν. Φιλήμα-

5. Ὅσα ὁ ἀνὴρ δωρεῖ εἰς τοὺς γονεῖς τῆς μνηστῆς ἵνα γείνῃ ὁ γάμος, ταῦτα ἀποδίδονται πρὸς αὐτὸν μὴ γενομένου τοῦ γάμου.

6. Γυνή τις μέλλουσα νὰ ὑπανδρευθῇ ἐξηπάτησε τὸν ἄνδρα περὶ τὴν προῖκα μηδὲν ῥητῶς ὑποσχεθεῖσα, δελεάσασα δὲ αὐτοῦ μὲ ἐλπίδα μεγάλης προικός· καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ὑπεσχέθη ψιλῶς ἢ καὶ συνεφώνησε νὰ δοθῇ εἰς τὴν γυναῖκα λόγῳ ἀῤῥαβώνων ὡρισμένη ποσότης, διακόσια λ. χ. νομίσματα καὶ οὕτω ἐτελέσθη ὁ γάμος. Ἔπειτα ἀπέθανεν ὁ ἀνὴρ ἀφήσας ἀδελφὸν κληρομόμον. Ἡ γυνὴ λοιπὸς ἐνήγαγε τὸν ἀδελφὸν καὶ κληρονόμον τοῦ ἀνδρός της ἀπαιτοῦσα τὰ ὑποσχεθέντα ἢ συμφωνηθέντα. Διὰ βασιλικῆς λοιπὸν ἀντιγραφῆς διατάσσονται τὰ ἑξῆς πρὸς τὸν ἀδελφόν: ἡ γυνὴ ἐπιζητεῖ ὅσα ὁ ποτέ σου ἀδελφὸς ὑπεσχέθη ὡς ἀῤῥαβῶνας καὶ συνεφώνησε, δὲν ὀφείλεις διὰ τοῦτο νὰ δώσῃς εἰς αὐτὴν τίποτε, διότι ἠπάτησε τὸν ἄνδρα εἰς τὴν προῖκα.

7. Ἐπειδὴ εἰς τὴν μνηστὴν ἐπιτρέπεται νὰ δωρῇ τις, ὄχι ὅμως καὶ εἰς τὴν σύζυγον, ἐζητεῖτο, ἐὰν γείνῃ δωρεὰ τὴν ἡμέραν τῶν γάμων, ἆρα γε ἰσχύει ὡς γινομένη πρὸς μνηστὴν, ἢ ὡς πρὸς σύζυγον εἶναι ἀσύστατος; Λέγει λοιπὸν ἡ διάταξις: εἰς τοιαύτην ἀπορίαν ἐξετάζεται, ποῦ ἦτον ἡ γυνὴ ὅταν ἡ δωρεὰ ἔγεινε· ὥστε εἰ μὲν ἦτον εἰς τὴν οἰκίαν της, θεωρεῖται ὅτι ἡ δωρεὰ ἔγεινε πρὸς μνηστὴν, διὸ καὶ ἰσχύει· εἰ δὲ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς, πρὸς σύζυγον· διότι ἔκτοτε ἡ γυνὴ θεωρεῖται ὅτι εἶναι σύζυγος καὶ ὄχι μνηστή.

8. Ἡ δωρεὰ ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν οὔτε ἀπὸ βασιλικὴν ἀντιγραφὴν ἀνατρέπεται, ἀφοῦ δηλ. διαλυθῇ ὁ γάμος· διότι δὲν πρέπει ὁ βασιλεὺς νὰ δίδῃ κενὰς χάριτας πρὸς βλάβην ἄλλων.

9. Ἐὰν ὁ μνηστὴρ κατὰ τὸν καιρὸν τῆς μνηστείας ἐφίλησε τὴν μνηστὴν καὶ μετὰ τοῦτο συνέβη ὁ εἷς ἀπὸ τοὺς δύο νὰ ἀποθάνῃ, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται καὶ τὸ ἥμισυ κρατεῖ ὁ ζῶν.

τος δὲ μὴ γενομένου εἴτε ὁ μνηστὴρ τελευτήσει εἴτε ἡ μνηστή, πᾶσι τρόποις ἀναδίδοται ἡ δωρεά. Ἐὰν δὲ ἡ μνηστὴ ἐδωρήσατο τῷ μνηστῆρι, καὶ συνέβη ἕνα τούτων τελευτῆσαι, ἀναδίδοται πάντως ἡ δωρεὰ εἴτε μὴ γέγονε φίλημα.

10. Ἐὰν ὁ μνηστὴρ δωρήσηταί τινα τῇ ἰδίᾳ μνηστῇ καὶ ὁ πενθερὸς ἀντιδωρήσηται αὐτῷ τινα, μὴ γενομένων δὲ τῶν γάμων ὁ μνηστὴρ ἀφέληται ἅπερ ἐδωρήσατο, οὐ καλῶς ὁ πενθερὸς τὴν ἰδίαν δωρεὰν ἀνατρέπει, ἀλλὰ μᾶλλον ὀφείλει τὰ ἁρπαγέντα παρὰ τοῦ μνηστῆρος ἐπιζητεῖν. (B. XXVIII. 3. 10.)

11. Οἱ δανεισταὶ οἱ προγενέστεροι τοῦ ἀνδρὸς εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ' αὐτοῦ πράγματα ἀποσπᾶν, εἰ μή που ἰδικῶς αὐτοῖς ταῦτα ὑπέκειτο (*).

12. Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν· εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν· εἰ δὲ καὶ συνεφώνησε μὴ ὑπὲρ τὴν εἰκοστὴν μοῖραν τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς ἐπιζητεῖν. (B. LIV. 15. 4.)

ΤΙΤΛ. Δ'. — Περὶ ὅρου καὶ διαθέσεως γάμου.

1. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία. (B. XXVIII. 4. 1.)

2. Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι Ῥωμαῖοι, ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξωσι. Δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐῤῥῆσθαι εἶναι, τὰς δὲ θηλείας ἀνδρὸς δεκτικὰς, τουτέστι τοὺς μὲν ὑπερβαίνειν τὸν τεσσαρεσκαιδέκατον χρόνον, τὰς δὲ μείζονας εἶναι τῶν δώδεκα ἐνιαυτῶν. Ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συναπτόμενοι.

(*) Μὴ νομίσῃς, ὅτι ἡ γυνὴ εἰς τὰς δωρεὰς, περὶ ὧν γίνεται εἰς τὸ παρὸν λόγος, ἔχει σιωπηρὰς ὑποθήκας· διότι αὗται ἐδόθησαν ἀντὶ τῆς προγαμιαίας δωρεᾶς ἤτοι τοῦ ὑποβόλου.

Ἐὰν ὅμως φίλημα δὲν γείνῃ εἴτε ὁ μνηστὴρ ἀποθάνῃ εἴτε ἡ μνηστὴ, ἡ δωρεὰ ἐξάπαντος ἀποδίδεται. Ἐὰν δὲ ἡ μνηστὴ ἐδώρησεν εἰς τὸν μνηστῆρα, καὶ συνέβη ὁ εἷς ἐξ αὐτῶν ν' ἀποθάνῃ, ἀποδίδεται ἐξάπαντος ἡ δωρεὰ, εἴτε ἔγειναν εἴτε δὲν ἔγειναν φίλημα.

10. Ἐὰν ὁ μνηστὴρ δωρήσῃ τι εἰς τὴν μνηστήν του καὶ ὁ πενθερὸς ἀντιδωρήσῃ τι εἰς αὐτὸν, τοῦ δὲ γάμου μὴ τελεσθέντος ὁ μνηστὴρ ἀφαιρέσῃ ὅσα ἐδώρησε, ὁ πενθερὸς ὄχι καλῶς ἀνατρέπει τὴν ἰδίαν του δωρεὰν, ἀλλὰ μᾶλλον ὀφείλει νὰ ἐπιζητῇ τὰ ὑπὸ τοῦ μνηστῆρος ἁρπαγέντα.

11. Οἱ προγενέστεροι ἀπὸ τὸν ἄνδρα δανεισταὶ, ἐὰν δὲν ἔχωσιν ὑποθήκας, δὲν δύνανται ν' ἀποσπάσωσι τὰ εἰς τὴν μνηστὴν δωρηθέντα παρ' αὐτοῦ πράγματα, ἐκτὸς ἐὰν ταῦτα ἦσαν ἰδικῶς εἰς αὐτοὺς ὑπόχρεα.

12. Ἡ διάταξις θέλει ἵνα ὁ προξενητὴς γάμου μὴ λαμβάνῃ τίποτε· ἐὰν ὅμως ἐμμένῃ νὰ λάβῃ τι, εἰ μὲν δὲν συνεφώνησε περὶ τούτου, δὲν λαμβάνει τίποτε· εἰ δὲ καὶ ἐσυμφώνησε, δὲν ἐπιζητεῖ ὑπὲρ τὸ εἰκοστὸν μέρος τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς.

ΤΙΤΛ. Δ'. — Περὶ ὁρισμοῦ καὶ διαθέσεως γάμου.

1. Γάμος εἶναι ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πασης ζωῆς, θείου καὶ ἀνθρωπίνου δικαία κοινωνία.

2. Ἐννόμους δὲ γάμους συνιστῶσι μεταξύ των οἱ Ῥωμαῖοι, ὅταν φυλάξωσι τὰ ἀπὸ τούς νόμους περὶ γάμου διατεταγμένα. Πρέπει δὲ οἱ μὲν ἀρσενικοὶ νὰ ἦναι ἐρῆβοι, τὰ δὲ θηλυκὰ ἀνδρὸς δεκτικὰ, τουτέστιν ἐκεῖνοι μὲν νὰ ὑπερβαίνωσι τὸ δέκατον τέταρτον ἔτος, αὐταὶ δὲ νὰ ἦναι μεγαλείτεραι τῶν δώδεκα ἐτῶν. Ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοι εἶναι οἱ συναπτόμενοι εἰς γάμον.

3. Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσουσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους· ὁ δὲ χωρὶς συναινέσεως τῶν γονέων γενόμενος γάμος ἀνίσχυρός ἐστιν. (Β. XXVIII. 4. 2.)

4. Ἡ ἥττων τῶν ιϐ'. ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσῃ τὰ ιϐ'. ἔτη.

5. Ἀπὼν ὁ ἀνὴρ δύναται διὰ μέσου ἢ δι' ἐπιστολῆς γαμεῖν, τῆς γυναικὸς εἰς τὸν οἶκον αὐτοῦ ἀνιούσης. Εἰ δὲ ἡ γυνὴ ἀπολιμπάνεται, οὐ δύναται τοῦτο γενέσθαι· δεῖ γὰρ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἀνελθεῖν τὴν γυναῖκα. Καὶ ἐὰν ἀποθάνῃ πρὶν ἢ ἐπανέλθῃ, πενθεῖται παρὰ τῆς γυναικὸς (μέχρις ἐνιαυτοῦ). (Β. XXVIII. 4. 4.)

μὴ φανερῶς ἀπηλέγχθη, οὐ δύναται λαβεῖν ὅμως εἰς γυναῖκα δι' ἣν κατηγορήθη, ἵνα μὴ τὴν προλαβοῦσαν βεβαιώσῃ κατηγορίαν. Οὐδὲ ὁ ἀπελεύθερος τὴν γυναῖκα τοῦ πάτρωνος αὐτοῦ ἵνα μὴ καὶ αὐτὸς ὑποψίαν παράσχῃ, ὡς ἐμοίχευσε ταύτην. Οὐδὲ ὁ ἐπίτροπος τὴν ὀρφανὴν πρὸ τοῦ ἐπιλυθῆναι τὴν ἐπιτροπήν. Οὐδὲ ὁ δημόσιος παιγνιώτης ἢ ὁ υἱὸς αὐτοῦ γυναῖκα ἢ θυγατέρα συγκλητικοῦ· δεῖ γὰρ καὶ τὸ εὐπρεπὲς ἐν τούτοις ζητεῖν. Ταῦτα μὲν οὖν ἐκ τῶν νόμων συνῆκται, καὶ κατ' ἐπιτομὴν εἴρηται καὶ οὕτως εἰσὶν ἐνεργούμενα.

9. Ὁ δὲ ζ'. βαθμὸς ἐπὶ τῶν ἐξ αἵματος παρὰ μὲν τοῦ νόμου κεκώλυται· παρὰ δὲ τοῦ Πατριάρχου Κυροῦ Ἀλεξίου καὶ τῆς τότε συνόδου κεκώλυται μὲν πρὸ τοῦ προβῆναι καὶ τελεσθῆναι, μετὰ δὲ τὸ προβῆναι οὐ διαχωρίζονται μὲν οἱ συναπτόμενοι, καθυποβάλλονται δὲ ἐπιτιμίῳ κατὰ τὴν συνοδικὴν ταύτην οἰκονομίαν. Ἐκωλύθη δὲ ὕστερον παντελῶς ὁ τοιοῦτος ζ'. βαθμὸς διὰ ὑπομνήματος συνόδου τοῦ ἁγιωτάτου Πατριάρχου Κυροῦ Λουκᾶ ἐπικυρωθέντος διὰ προστάγματος τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ.

10. Ἰστέον δὲ ὅτι ἡ μνηστεία ἐλάττων ἐστὶ τοῦ γάμου, καὶ διὰ τοῦτο ἐπὶ τῶν γαμικῶν συναλλαγμάτων οὐ πολυπραγμονεῖται, ὡς ὁ τέλειος γάμος· ἀλλὰ καὶ ἐν ἐλάττονι βαθμῷ συνάλλαγμα γαμικὸν γίνεται, μνηστείας μόνον ἠγησαμένης ἐν ἀγχιστείᾳ.

11. Καὶ ταῦτα περὶ γάμων κεκωλυμένων· τί διαφέρει ἄνκεστος, δαμνάτος καὶ νεφάριος; Ἄνκεστος μέν ἐστιν ὁ ἐξ αἵματος τὴν σύστασιν ἔχων· οἷον εἰς ἀνεψιὰν, θείαν, ἐξαδέλφην. Δαμνάτος ὁ κεκωλυμένος· οἷον ἐπίτροπος πρὸς ἐπιτροπευομένην καὶ ἀπελεύθερος πρὸς πατρωνίσσαν. Νεφάριος δὲ ὁ παράνομος· οἷον πρὸς μοναχὴν καὶ ἀσκήτριαν, ἢ καὶ τὴν ἐξ ἁρπαγῆς.

χὸς ἂν καὶ φανερὰ δὲν ἐξηλέγχθη, δὲν δύναται ὅμως νὰ λάβῃ εἰς γυναῖκα ἐκείνην δι' ἣν ἐκατηγορήθη, διὰ νὰ μὴ βεβαιώσῃ τὴν προλαβοῦσαν κατηγορίαν. Οὐδὲ ὁ ἀπελεύθερος τὴν γυναῖκα τοῦ πάτρονος αὐτοῦ, διὰ νὰ μὴ δώσῃ καὶ αὐτὸς ὑποψίαν ὅτι ἐμοίχευσεν αὐτήν. Οὐδὲ ὁ ἐπίτροπος τὴν ὀρφανὴν πρὶν διαλυθῇ ἡ ἐπιτροπή. Οὐδὲ ὁ δημόσιος παίκτης ἢ ὁ υἱὸς αὐτοῦ γυναῖκα ἢ θυγατέρα συγκλητικοῦ· διότι εἰς ταῦτα ζητεῖται καὶ τὸ εὐπρεπές. Ταῦτα λοιπὸν ἐσυλλέχθησαν ἀπὸ τοὺς νόμους, καὶ ἐν συντόμῳ ἐλέχθησαν καὶ οὕτω ἐνεργοῦνται.

9. Ὁ δὲ ἕβδομος βαθμὸς εἰς τοὺς ἐξ αἵματος ἀπὸ μὲν τὸν νόμον ἐμποδίζονται· ἀπὸ δὲ τὸν πατριάρχην κύριον Ἀλέξιον καὶ τὴν τότε σύνοδον ἐμποδίζεται μὲν πρὶν γείνῃ καὶ τελεσθῇ, μετὰ δὲ τὴν τέλεσιν οἱ συναφθέντες δὲν διαχωρίζονται μὲν, καθυποβάλλονται ὅμως εἰς ἐπιτίμισιν κατὰ τὴν συνοδικὴν ταύτην οἰκονομίαν. Ὕστερον δὲ ἐμποδίσθη ἐντελῶς ὁ τοιοῦτος ζ'. βαθμὸς διὰ συνοδικοῦ ὑπομνήματος τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ ἐπικυρωθέντος μὲ διαταγὴν τοῦ βασιλέως κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ.

10. Γνωστὸν δὲ ἔστω ὅτι ἡ μνηστεία εἶναι κατωτέρα τοῦ γάμου, καὶ διὰ τοῦτο εἰς τὰ γαμικὰ συναλλάγματα δὲν θεωρεῖται ὡς ὁ τέλειος γάμος· ἀλλὰ καὶ εἰς κατώτερον βαθμὸν γίνεται γαμικὸν συνάλλαγμα, ἐὰν μόνον μνηστεία προηγήθη εἰς ἀγχιστείαν.

11. Καὶ ταῦτα περὶ γάμων ἀπηγορευμένων· τί διαφέρει ἀθέμιτος, καταδικαστὸς καὶ ἀνόσιος; Ἀθέμιτος μὲν εἶναι ὁ ἔχων τὴν σύστασιν ἐξ αἵματος, καθὼς εἰς ἀνεψιὰν, θείαν, ἐξαδέλφην· καταδικαστὸς δὲ ὁ ἀπηγορευμένος· καθὼς ἐπίτροπος πρὸς ἐπιτροπευομένην καὶ ἀπελεύθερος πρὸς πατρώνισσαν· ἀνόσιος δὲ ὁ παράνομος, καθὼς πρὸς μοναχὴν καὶ ἀσκήτριαν ἢ καὶ τὴν ἁρπασθεῖσαν.

ΤΙΤΑ. Θ'. — Περὶ δευτερογαμούντων.

1. Πᾶσα γυνὴ ὀφείλει ἐνιαυτὸν πενθεῖν τὸν ἄνδρα αὐτῆς καὶ μὴ γαμηθῆναι πρὸ συμπληρώσεως τοῦ ἐνιαυτοῦ· εἰ δὲ καὶ αὐτὴ ἡ γυνὴ τὰς αἰτίας τῆς λύσεως παράσχοι δίχα δύο θεμάτων, οὐ δύναται ἄλλῳ γαμηθῆναι πρὸ συμπληρώσεως πενταετίας· τὰ δύο δὲ θέματα ταῦτά ἐστιν, ὅτε ἐπὶ μοιχείᾳ κατηγορηθῇ καὶ ὅτε ἀλόγως ἀποστάσιον πέμψῃ τῷ ἀνδρί· τότε γὰρ εἰς μοναστήριον βάλλεται. Ἡ δὲ τῆς ἀλόγου πομπῆς τοῦ ἀποστασίου κοινή ἐστι καὶ ἐπὶ ἀνδρὸς νοουμένη.

2. Εἰ μὲν εὐλόγως ὁ ἀνὴρ τῆς γυναικὸς χωρισθείη διαζυγίῳ, καὶ εἰς πεντετείαν ὅλην πρὸς δεύτερον ἐλθεῖν γάμον κεκώλυται ἡ γυνή· εἰ δὲ μή γε, οὐκ ἔστιν ἀνεύθυνος, καὶ οὐδὲ νόμιμος ὁ γάμος κληθήσεται. Εἰ δὲ ἡ γυνὴ τοῦ ἀνδρὸς εὐλόγως χωρισθείη, πρὶν ἐνιαυτὸν ἐξήκειν εἰς δεύτερον ἐλθεῖν γάμον οὐκ ἐπιτρέπεται διὰ τὴν τῆς γονῆς σύγχυσιν· τῷ δὲ ἀνδρὶ καὶ παραχρῆμα γαμεῖν ἔξεστι διὰ τὸ μηδεμίαν ἐντεῦθεν περὶ τὴν γονὴν γίνεσθαι σύγχυσιν. (B. XXVIII. 7. 2.)

2 Ϛ'. Ἡ τεκοῦσα ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται γαμεῖν.

3. Μήτηρ ἐθέλουσα καὶ προτεινομένη ἀναγέτω τοὺς ἰδίους παῖδας, μὴ δευτερογαμοῦσα μέντοιγε. (B. XXXVIII. 2. 7.)

4. Εἰ ὁ ἀνὴρ πόρρω ὢν τελευτήσῃ καὶ δράμῃ ὁ πένθιμος χρόνος καὶ εἰς τὴν ἐσχάτην ἡμέραν τοῦ ἐνιαυτοῦ μάθῃ τὴν τελευτὴν τοῦ ἀνδρὸς ἡ γυνή, δύναται κατ' αὐτὴν τὴν ἡμέραν καὶ ἀποτίθεσθαι τὰ πένθιμα καὶ γαμεῖν (*). (B. XXI. 2. 8.)

5. Ὁ ἀνὴρ οὐ πενθεῖ τὴν γαμετὴν οὔτε ἡ μνηστὴ τὸν μνηστῆρα.

6. Κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν.

(*) Τοῦτο νόει, ἐὰν ὁ γάμος διαλυθῇ ἀπὸ θάνατον· διότι ἂν ὁ γάμος

ΤΙΤΛ. Θ'. — Περὶ Δευτέρου γάμου.

1. Πᾶσα γυνὴ ὀφείλει νὰ πενθῇ τὸν ἄνδρα τῆς ἕν ἔτος καὶ νὰ μὴ ὑπανδρεύηται πρὶν συμπληρωθῇ ἕν ἔτος· εἰ δὲ καὶ αὐτὴ ἡ γυνὴ δώσῃ τὰς αἰτίας τῆς διαλύσεως ἐκτὸς δύο περιπτώσεων, δὲν δύναται νὰ ὑπανδρευθῇ μὲ ἄλλον πρὸ τῆς συμπληρώσεως τῆς πενταετίας. Αἱ δύο δὲ περιπτώσεις εἶναι αἱ ἑξῆς, ὅταν κατηγορηθῇ ὡς μοιχαλὶς καὶ ὅταν ἀλόγως στείλῃ πρὸς τὸν ἄνδρα διαζύγιον· διότι τότε ἐγκλείεται εἰς μοναστήριον. Ἡ δὲ ποινὴ τῆς ἀλόγου ἀποστολῆς τοῦ διαζυγίου εἶναι κοινὴ ἐννοουμένη καὶ εἰς τὸν ἄνδρα.

2. Εἰ μὲν ὁ ἀνὴρ χωρισθῇ εὐλόγως ἀπὸ τὴν γυναῖκα, αὕτη ἐμποδίζεται νὰ συναρθῇ εἰς δεύτερον γάμον καὶ εἰς ὁλόκληρον πενταετίαν· εἰ δὲ μὴ, δὲν εἶναι ἀνεύθυνος, καὶ οὐδὲ νόμιμος ὁ γάμος λέγεται. Εἰ δὲ ἡ γυνὴ χωρισθῇ εὐλόγως ἀπὸ τὸν ἄνδρα, δὲν συγχωρεῖται νὰ συναρθῇ εἰς δεύτερον γάμον πρὶν παρέλθῃ ἕν ἔτος, διὰ τὴν σύγχυσιν τῆς γονῆς· εἰς δὲ τὸν ἄνδρα ἐπιτρέπεται καὶ εὐθὺς νὰ νυμφευθῇ, διότι ἐκ τούτου δὲν γίνεται καμμία σύγχυσις τῆς γονῆς.

2Ϛ'. Ἡ γεννήσασα εἰς τὸ πένθιμον ἔτος δύναται εὐθὺς νὰ ὑπανδρευθῇ.

3. Μήτηρ ὅταν θέλῃ καὶ προτείνῃ ἀνατρέφει τὰ ἰδιά της τέκνα, χωρὶς ὅμως νὰ ἔλθῃ εἰς δεύτερον γάμον.

4. Ἐὰν ὁ ἀνὴρ ἀποδημῶν ἀποθάνῃ καὶ παρέλθῃ ὁ πένθιμος χρόνος καὶ εἰς τὴν τελευταίαν ἡμέραν τοῦ ἔτους μάθῃ ἡ γυνὴ τὸν θάνατον τοῦ ἀνδρὸς, δύναται κατ' αὐτὴν τὴν ἡμέραν καὶ νὰ ἀποθέτῃ τὸ πένθιμα καὶ νὰ ὑπανδρεύεται.

5. Ὁ ἀνὴρ δὲν πενθῇ τὴν σύζυγον οὔτε ἡ μνηστὴ τὸν μνηστῆρα.

6. Κατὰ βασιλικὴν διαταγὴν δύναται ἡ γυνὴ νὰ ὑπανδρεύεται εἰς τὸν πένθιμον χρόνον.

διελύθη μὲ διαζύγιον, τότε κατὰ τὴν ριζ'. νεαρὰν τὰ τέκνα μένουσιν εἰς τὸν μὴ δώσαντα αἰτίαν τῆς διαλύσεως.

7. Καὶ ἡ μὴ συναρθεῖσα ἀνδρὶ, ἀλλ' ἔτι παρθένος οὖσα πενθεῖν χρεωστεῖ τὸν ἄνδρα (*). (B. XXVIII. 4. 5.)

8. Ἡ ἐπιτροπεύσασα τῶν παίδων γυνὴ ὡς ἀνήβων, εἰ πρὸς δεύτερον ἔλθοι γάμον, μὴ πρότερον ἐπίτροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παρασχομένη καὶ καταβαλοῦσα πᾶν, ὅσον ἔμπροσθεν ὀφείλει, τήν τε οὐσίαν αὐτῆς καὶ τὴν τοῦ γήμαντος ὑποτίθησι τοῖς παισὶ καὶ ἀνήβου τοῦ παιδὸς τελευτήσαντος οὐ διαδέχεται, εἰ καὶ ὁ πατὴρ εἴποι τοῦτο· καὶ πρὸς τούτοις ταῖς ποιναῖς ὑπόκειται ταῖς αὐταῖς, αἷς καὶ ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμήσασα. (B. XXVIII. 14.)

9. Ἡ ἐλάττων τῶν κέ. ἐνιαυτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν γνώμῃ τοῦ πατρὸς γαμείσθω· εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. Ἡ δὲ τελεία οὐδ' ἐπὶ τῷ δευτέρῳ γάμῳ δεῖται τῆς τοῦ πατρὸς συναινέσεως. Εἰ δὲ ἐναντιοῦται καὶ τοῖς συγγενέσιν, ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα ἐὰν ἴσοι ὦσι γένει καὶ τρόποις οἱ δύο μνηστῆρες, ὃν οἱ συγγενεῖς βούλονται, καὶ ὃν ἡ γυνὴ ἐπιλέγεται, προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις.

10. Τῆς μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς γίνεσθαι, καὶ οὐδεμίαν ἄδειαν εἶναι τῇ μητρὶ τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι, τοὺς δὲ ἀτιμάζειν, διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὤβρισε γάμοις· ὥστε καὶ ἐπὶ τοῦ παρόντος ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ὅλη πρὸς τὴν πατδα παραγενήσεται, τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρι περίεστι φυλαττομένης. Καὶ εἰ μὲν ἡ μήτηρ προαπέλθοι, τῇ παιδὶ τῆς ὅλης προγαμιαίας δωρεᾶς ἁρμοζούσης. Εἰ δὲ ἡ πατς, μένειν μὲν παρὰ τῇ μητρὶ τὸ ἐκ τῆς ἀπαιδίας συμῤῥώνου κέρδος, τὸ δὲ λοιπὸν τῆς παιδὸς εἶναι, καὶ τελευτῶσαν τοῦτο παραπέμπειν εἰς τοὺς αὐτῆς κληρονόμους, εἴ τινες ἐκ τοῦ νόμου καλοῖντο.

11. Εἰ γὰρ οὐ παιδὶ τυχὸν, ἀλλά τινι τῶν ἔξωθεν ἡ μήτηρ, ἔτε

(*) Τοῦτο δὲ νόει, ἐὰν ἡ γυνὴ ἦτον εἰς γάμον καὶ ὄχι εἰς μνηστείαν.

7. Καὶ ἡ μὴ συναρθεῖσα μὲ τὸν ἄνδρα, ἀλλὰ παρθένος ἀκόμη μένουσα ὀφείλει νὰ πενθῇ τὸν ἄνδρα.

8. Ἡ γυνὴ ἐπιτροπεύσασα τὰ τέκνα της ὡς ἄνηβα, ἐὰν ἔλθῃ εἰς δεύτερον γάμον, χωρὶς νὰ ζητήσῃ προτήτερα ἐπίτροπον καὶ νὰ δώσῃ τοὺς λογαριασμοὺς καὶ νὰ καταβάλῃ πᾶν ὅ,τι ἀπὸ πρότερον ὀφείλει, καθιστᾷ ὑπέγγυον πρὸς τὰ τέκνα τὴν περιουσίαν της καὶ τὴν τοῦ νέου συζύγου καὶ ἐὰν τὸ τέκνον ἀποθάνῃ ἄνηβον δὲν τὸ κληρονομεῖ, καὶ ἐὰν ὁ πατὴρ διέταξε τοῦτο· καὶ πρὸς τούτοις ὑπόκειται εἰς τὰς αὐτὰς ποινὰς, εἰς τὰς ὁποίας καὶ ἡ δευτεροῦπανδρευθεῖσα πρὸ τοῦ πενθίμου χρόνου.

9. Ἡ μικροτέρα τῶν 25 ἐτῶν αὐτεξουσία μέλλουσα νὰ δευτεροῦπανδρευθῇ ὑπανδρεύεται κατὰ γνώμην τοῦ πατρός· εἰ δὲ ἀπέθανεν ὁ πατὴρ, κατὰ γνώμην τῶν συγγενῶν. Ἡ δὲ ἐνήλικος δὲν ἔχει ἀνάγκην τῆς συναινέσεως τοῦ πατρὸς οὐδὲ εἰς τὸν δεύτερον γάμον. Εἰ δὲ ἐναντιοῦται καὶ πρὸς τοὺς συγγενεῖς, ὁ δικαστὴς ἐπικυροῖ τὴν καλλιτέραν γνώμην, ὥστε ἐὰν ἦναι ἴσοι κατὰ τὸ γένος καὶ κατὰ τὰ ἤθη οἱ δύο μνηστῆρες, ὅντινα οἱ συγγενεῖς θέλουσι καὶ ὅντινα ἡ γυνὴ ἐκλέγει, προτιμᾶται ἡ γνώμη τῆς γυναικός.

10. Ἐὰν ἡ μήτηρ ἔλθῃ εἰς δεύτερον γάμον, ὅλα τὰ τέκνα κερδαίνουσιν εὐθὺς τὴν κυριότητα τῆς προγαμιαίας δωρεᾶς, καὶ ἡ μήτηρ δὲν ἔχει καμμίαν ἄδειαν τινὰ μὲ τέκνα νὰ προτιμᾷ, τινὰ δὲ νὰ ἀτιμάζῃ, διότι μὲ τὸν δεύτερον γάμον ὕβρισεν ὅλα ὁμοῦ· ὥστε καὶ ἐπὶ τοῦ παρόντος ὅλη ἡ κυριότης τῆς προγαμιαίας δωρεᾶς μεταβαίνει εἰς τὴν κόρην, ἡ δὲ χρῆσις διατηρεῖται εἰς τὴν μητέρα ἐνόσῳ ζῇ. Καὶ εἰ μὲν ἡ μήτηρ προαποθάνῃ, ὁλόκληρος ἡ προγαμιαία δωρεὰ ἀνήκει εἰς τὴν κόρην. Εἰ δὲ ἡ κόρη, μένει μὲν εἰς τὴν μητέρα τὸ κέρδος τὸ προερχόμενον ἀπὸ τὴν ἐπὶ ἀτεκνίας συμφωνίαν, τὸ δὲ ἐπίλοιπον εἶναι τῆς κόρης, καὶ ἀποθνήσκουσα παραπέμπει τοῦτο εἰς τοὺς κληρονόμους της, ἐάν τινες καλῶνται ἀπὸ τὸν νόμον.

11. Εἰ δὲ ἡ μήτηρ, πρὶν ἀκόμη ἔλθῃ εἰς δεύτερον γάμον, δω-

δευτέρων ἄπειρος οὖσα γάμων, μοῖράν τινα τῆς προγαμιαίας δωρεᾶς ἢ τινα πράγματα ἐξ αὐτῆς ἢ πᾶσαν δωρήσηται ἢ κατ' ἄλλον τυχὸν ἐκποιήσηται τρόπον, εἶτα εἰς ἀνδρὸς φοιτήσῃ δευτέρου γάμον, πρόδηλον ὡς τῷ ἐπιγενομένῳ δευτέρῳ γάμῳ τὸ τῆς ἐκποιήσεως ἀνατραπήσεται καὶ οὐδὲ αὐτὸ πᾶσι τρόποις, ἀλλ' ἐμμετεώρῳ καὶ τὰ τῆς ἐκποιήσεως καὶ τὰ τῆς ἀνατροπῆς μένει· εἰ μὲν γὰρ μείναιεν περιόντες παῖδες, ἀνατραπήσεται καθάπαξ τὸ γενόμενον, τοῦ νόμου τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς εἰς τοὺς παῖδας ἄγοντος καὶ οὐδὲν ἐπιστρεφομένου τῆς γυναικὸς, εἴτι πράξειεν ἐπὶ βλάβῃ τῶν παίδων· εἰ δὲ προτελευτήσαιεν ἅπαντες τῆς μητρὸς, μένειν τὸ συνάλλαγμα βέβαιον, οὐκ εἰς ὁλόκληρον, ἀλλὰ κατὰ τὸ ἐξ ἀπαιδίας σύμφωνον· καὶ κατά τινα μὲν μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον, κατά τινα δὲ ἄκυρον ἀποφανθήσεται· τουτέστι κατὰ μὲν τὸ μένον παρὰ τῇ μητρὶ προράσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τοῦ παιδὸς διαδόχους ἄκυρον ἔσται· ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθείη, τὸ πᾶν αὖθις κύριον ἔσται.

12. Τὰ γαμικὰ κέρδη καὶ μὴ κληρονομοῦντες τοὺς γονεῖς οἱ παῖδες ἐχέτωσαν· ὅτι ὁ νόμος τῆς τῶν ἰδιωτῶν γνώμης ἰσχυρότερός ἐστιν, ὅθεν τὸ ἐκ νόμου διδόμενόν τινι κέρδος ἰδιώτης παντάπασιν ἀφαιρεῖσθαι οὐ δύναται (*).

13. Τὴν προῖκα μὴ εἰσενεγκαμένην μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ τῆς προγαμιαίας δωρεᾶς· καὶ ὁ μὴ τὴν διὰ γάμον ἐπιδοὺς δωρεὰν ἀνὴρ οὐ λαμβάνει τι ἐκ τῆς οὐσίας τῆς γυναικὸς, εἰ μὴ ἡ συνοικοῦσα αὐτῷ δωρήσασθαί τι ἢ καταλεῖψαι βουληθείη.

(*) Τὸ ἀπὸ ἀτεκνίαν μέρος τοιοῦτο εἶναι εἰς τὰ γαμικὰ κέρδη· συνεφωνήθη, ἐὰν ἀποθάνῃ ὁ ἀνὴρ ἄτεκνος, νὰ κερδαίνῃ ἡ γυνὴ τὸ ἥμισυ τῆς προγαμιαίας δωρεᾶς· εὑρέθησαν δὲ τὰ γαμικὰ κέρδη ποσότης χιλίων νομισμάτων, καὶ τέκνα εἶναι πέντε· εἰς ἕκαστον τούτων ἀρμόζουσι νομίσματα διακόσια. Τὸ ἀπὸ ἀτεκνίαν λοιπὸν μέρος εἰς ἕκαστον τούτων ἀ-

ρήσῃ ὄχι εἰς τέκνον ἀλλ' εἰς ἐξωτικόν τινα μέρος τῆς προγαμιαίας δωρεᾶς ἢ πράγματά τινα ἐξ αὐτῆς ἢ ὁλόκληρον ἢ κατ' ἄλλον τυχὸν τρόπον ἐκποιήσῃ ταύτην, ἔπειτα δευτερογάμῃ, εἶναι φανερὸν ὅτι ὁ ἐπελθὼν δεύτερος γάμος ἀνατρέπει τὴν ἐκποίησιν καὶ οὐδὲ τοῦτο γίνεται κατὰ πάντα τρόπον, ἀλλὰ καὶ ἡ ἐκποίησις καὶ ἡ ἀνατροπὴ μένουσιν ἐν μετεώρῳ· διότι εἰ μὲν ὑπάρχουσι τέκνα, ἡ πρᾶξις ἀνατρέπεται ἐξάπαντος, τοῦ νόμου μεταβιβάζοντος τὴν κυριότητα τῆς προγαμιαίας δωρεᾶς εἰς τὰ τέκνα καὶ μὴ ἐπιστρεφομένου τίποτε εἰς τὴν γυναῖκα, ἐὰν αὕτη ἔπραξέ τι πρὸς βλάβην τῶν τέκνων· εἰ δὲ ὅλα πρὸ τῆς μητρὸς ἀποθάνωσι, τὸ συνάλλαγμα ἰσχύει ὄχι ὁλοσχερῶς, ἀλλὰ κατὰ τὴν ἐπὶ ἀτεκνίας συμφωνίαν. Καὶ κατά τι μὲν μέρος ἰσχύει τὸ συνάλλαγμα, κατά τι δὲ εἶναι ἄκυρον, τουτέστι κατὰ μὲν τὸ μένον εἰς τὴν μητέρα λόγῳ τῆς ἐξ ἀτεκνίας συμφωνίας ἰσχύει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς κληρονόμους τοῦ τέκνου εἶναι ἄκυρον· ὥστε ἐὰν μόνη ἡ μήτηρ εὑρεθῇ κληρονόμος τοῦ τέκνου, τὸ ὅλον πάλιν ἰσχύει.

12. Τὰ γαμικὰ κέρδη λαμβάνουσι τὰ τέκνα καὶ ἐὰν δὲν κληρονομῶσι τούς γονεῖς· διότι ὁ νόμος εἶναι ἰσχυρότερος ἀπὸ τὴν θέλησιν τῶν ἰδιωτῶν, ὅθεν τὸ ἀπὸ τὸν νόμον διδόμενον πρός τινα κέρδος ἰδιώτης δὲν δύναται ποσῶς ν' ἀφαιρέσῃ.

13. Γυνὴ ἥτις δὲν συνεισέφερε τὴν προῖκα δὲν δύναται μὲ τὴν προγαμιαίαν δωραιὰν νά οἰκειοποιῆται τὰ πράγματα τοῦ ἀνδρός· καὶ ὁ ἀνὴρ ὁ μὴ δώσας τὴν προγαμιαίαν δωρεὰν δὲν λαμβάνει τι ἀπὸ τὴν περιουσίαν τῆς γυναικὸς, ἐκτὸς ἐὰν ἡ σύζυγός του θελήσῃ νὰ τοῦ δωρήσῃ τι ἢ νὰ τοῦ ἀφήσῃ.

ναλογεῖ νομίσματα ἑκατὸν, διότι τὸ ἥμισυ τῶν διακοσίων εἶναι ἑκατόν· ὑπεθέσαμεν δὲ ὅτι συνεφωνήθη νὰ κερδαίνῃ ἡ μήτηρ ἀπὸ ἀτεκνίαν τὸ ἥμισυ. Τὸ αὐτὸ γίνεται καὶ ἐὰν συμφωνηθῇ τρίτον ἢ τέταρτον ἢ ἄλλο τι. Ὡσαύτως δὲ ἐννόει, ὅτι καὶ ὁ ἀνὴρ συμφωνεῖ καὶ πράττει ταῦτα εἰς τὴν προῖκα τῆς γυναικός.

14. Θεσπίζομεν τὰ ἄλλα πράγματα τὰ μετὰ τὴν πρὸ γάμου δωρεὰν εἰς τοὺς πατδας ἀριγμένα, εἰ μὲν ὁ πατὴρ ἄρρεν ἢ θῆλυ τυχὸν διάθοιτο, κατὰ τὸν νόμον χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους· ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι παρὰ τοῦ παιδὸς κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ διδομένων δικαίων, εἴγε ὁ πατὴρ αὐτὴν παραλείψειεν ἢ καὶ ἀλόγως ἀπὸ κληρονόμων ποιήσηται, φυλαττομένων· εἰ δὲ ἀδιάθετος τελευτήσειεν, τῆς ἐκείνου μοίρας, εἰ μὲν ἔχει πατδας ἰδίους, ἐπὶ τούτους τοὺς πατδας ἀρικνουμένης· εἰ δὲ οὐκ ἔχοι μὲν πατδας ἰδίους, εἶη δὲ τῶν ἀδελφῶν ἡ κλῆσις καὶ τῆς μητρὸς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὸν κλῆρον ἐρχομένης, καὶ τοῦτον ἰσχυρῶς ἐχούσης εἴτε δευτέροις ὡμίλησε γάμοις, εἴτε καὶ μή.

15. Τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον, μηδὲ καθόσον κληρονομεῖ τοῦ παιδὸς, ἀπολαυέτω· ἀλλὰ τοῦτο μὲν τῶν παίδων ἔστω κέρδος μόνον αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον, καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ' ἔτι τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβάλλον τὴν φύσιν.

16. Ὥσπερ ἡ μήτηρ ἔχει τὴν χρῆσιν τῆς προγαμιαίας δωρεᾶς καὶ ἑνὸς παιδὸς μοῖραν κατὰ δεσποτείαν, εἴγε μὴ δευτερογαμήσοι μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ πατὴρ τελευτησάσης τῆς γυναικὸς ἐκ τῆς προγάμου δωρεᾶς ἕξει λοιπὸν, εἰ λάβοι τὸν ἀπὸ τελευτῆς κάσσον. Οὐ μόνον δὲ εἰ πατὴρ εἴη τις τῶν παίδων ἡ μήτηρ, ταῦτα κρατήσει, ἀλλὰ καὶ εἰ πάππος εἴη ἡ μάμμη, οἷα τῶν παίδων αὐτῶν ἐπὶ παισὶ τεθνεώτων καὶ ἀποθανούσης τῆς μάμμης ἡ τοῦ πάππου τὸ καταλειφθὲν μέρος λαβὸν τὰ ἀπὸ τελευτῆς κάσσα, τὴν μὲν χρῆσιν αὐτῶν νεμηθήσεται, τὴν δὲ δεσποτείαν τοῖς ἐγγόνοις αὐτοῦ φυλάξει, ὡς, εἰ καὶ πατδας εἶχε, ποιεῖν ἔμελλε· παρακρατήσει δὲ καὶ δεσποτείαν μέρους ἑνὸς παιδὸς, εἰ μὴ δευτερογαμήσει· εἰ δὲ μὴ ὕπεισι πατδες ἢ ἔγγονοι, ἁπάντων δεσπόσει τῶν ἀπὸ τελευτῆς κάσσων.

14. Διατάσσομεν τ' ἄλλα πράγματα τὰ μετὰ τὴν προγαμιαίαν δωρεὰν εἰς τὰ τέκνα μεταβαίνοντα, εἰ μὲν τὸ τέκνον ἀρσενικὸν ἢ θηλυκὸν τυχὸν γράψῃ διαθήκην, νὰ μεταβαίνωσι κατὰ τὸν νόμον εἰς τοὺς γραπτοὺς κληρονόμους· ἐνταῦθα δὲν ἐμποδίζεται ἡ μήτηρ νὰ γράφηται παρὰ τοῦ τέκνου κληρονόμος, ἀλλὰ καὶ τὰ διδόμενα εἰς αὐτὴν δικαιώματα κατὰ τῆς διαθήκης φυλάττωνται, ἐὰν τὸ τέκνον τὴν παραλείψῃ ἢ καὶ ἀλόγως τὴν ἀποκληρώσῃ· εἰ δὲ ἀποθάνῃ ἀδιάθετον, τὸ μέρος τοῦτο, ἐὰν μὲν ἔχῃ ἴδια τέκνα, μεταβαίνει εἰς αὐτά· ἐὰν δὲ ἴδια τέκνα δὲν ἔχῃ, ἐπέρχονται δὲ εἰς τὴν κληρονομίαν οἱ ἀδελφοὶ καλουμένης καὶ τῆς μητρὸς ὁμοῦ μὲ τοὺς ἀδελφοὺς εἰς τὴν κληρονομίαν, καὶ ἀπολαύει τοῦτον ἰσχυρῶς εἴτε ἦλθεν εἰς δεύτερον γάμον, εἴτε καὶ μή.

15. Ἡ ἐλθοῦσα εἰς δεύτερον συνοικέσιον δὲν ἀπολαύει τὴν προγαμιαίαν δωρεὰν, μηδὲ καθόσον κληρονομεῖ τὸ τέκνον της· ἀλλὰ τοῦτο κερδαίνουσι μόνον τὰ τέκνα καὶ εἰς αὐτὰ δίδεται ἀπὸ τὸν νόμον, καὶ ἐὰν δὲν φαίνηται ὅτι εἶναι μέρος τῆς κληρονομίας τοῦ τέκνου, ἀλλὰ δὲν ἔχασεν ἀκόμη τὴν φύσιν τῆς προγαμιαίας δωρεᾶς.

16. Καθὼς ἡ μήτηρ ἔχει τὴν χρῆσιν τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ κυριότητα ἑνὸς τέκνου μερίδιον, ἐὰν δὲν δευτερογαμήσῃ μετὰ τὸν θάνατον τοῦ ἀνδρὸς, οὕτω καὶ ὁ πατὴρ ἀποθανούσης τῆς γυναικὸς ἔχει τὸ ἐπίλοιπον ἀπὸ τὴν προγαμιαίαν δωρεὰν, ἐὰν λάβῃ τὸ ἀπὸ θάνατον ἐπιβάλλον κέρδος. Καὶ ὄχι μόνον ἐὰν ἦναι τις πατὴρ ἢ μήτηρ τῶν τέκνων, ἰσχύουσι ταῦτα, ἀλλὰ καὶ πάππος ἢ μάμμη, καθὼς τὰ τέκνα των ἀποθνήσκοντα ἄρησαν τέκνα καὶ ἡ μάμμη ἢ ὁ πάππος ἐὰν ἀποθάνῃ ὁ ἐπιζήσας λαμβάνει τὰ ἀπὸ θάνατον ἐπιβάλλοντα κέρδη· καὶ ταῦτα μὲν καρποῦται, τὴν δὲ κυριότητα φυλάττει εἰς τοὺς ἐγγόνους του, ὡς θὰ ἔπραττε, καὶ τέκνα ἐὰν εἶχε· παρακρατεῖ δὲ καὶ μερίδιον ἑνὸς τέκνου κατὰ κυριότητα, ἐὰν δὲν ἔλθῃ εἰς δεύτερον γάμον· εἰ δὲ τέκνα ἢ ἔγγονοι δὲν ὑπάρχουσι, γίνεται κύριος ὅλων τῶν ἀπὸ θάνατον κερδῶν.

17. Ἡ δευτερογαμήσασα μήτηρ, παιδὸς αὐτῆς ἀδιαθέτου καὶ ἄπαιδος τελευτήσαντος, εἴ τι μὲν ἀνῆκεν αὐτῷ ἀπὸ τῆς προγαμιαίας δωρεᾶς ἢ ἐκ τῆς πατρῴας οὐσίας αὐτῷ περιῆλθε, τούτου τὴν χρῆσιν αὐτὴ μόνη ἐξ ἀδιαθέτου κληρονομεῖ τὴν δεσποτείαν τοῖς ἀδελφοῖς ἢ ταῖς ἀδελφαῖς ἐκείνου φυλάττουσα· τὰ δὲ ἑτέρωθεν αὐτῷ περιελθόντα, καὶ τὴν δεσποτείαν τούτων κληρονομεῖ· ἐκ διαθήκης δὲ εἴ τι ἄρα αὐτῇ παρὰ τοῦ παιδὸς καταλειφθείη, καὶ κατὰ δεσποτείαν ἔχει.

18. Ὅτι ἡ μήτηρ τὰ μὲν τροφεῖα, ἅτινα τοῖς παισὶ παράσχοι, οὐ δύναται ἀπαιτεῖν· εἴ τι δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀνάλωσε, τοῦτο διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς δύναται ἀπαιτεῖν. (B. XVII. 1. 33.)

19. Ἡ διάταξις κελεύει, ὅτι οἱ πατέρες τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων, εἰ καὶ εἰς δευτέρους μετέβησαν γάμους, ἀναμφιβόλως ἔχειν ὀφείλουσι, καὶ οὐδεμίαν τοῖς παισὶν ἢ τοῖς εἰτιδήποτε ἐκ προσώπου αὐτῶν κατὰ τῶν πατέρων ἀναίσχυντον φωνὴν ἢ αἰτίασίν τινα δύνασθαι ἁρμόζειν (*). (B. XLV. 4. 4.)

20. Εἰ δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γάμοις καὶ πρὸς δευτέρους ἔλθοιεν, εἰ μὲν ἄπαιδες μένοιεν ἐκ τῶν προτέρων ἢ καὶ ἀμφοτέρων γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ τὰ δεύτερα, ἀλλ' ἄνδρες μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι· γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος, τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον συνελθεῖν συνοικέσιον ἢ γινώσκειν, ὡς εἴ τι τοιοῦτον πράξαιεν καὶ ὡρους συναλλάξαιεν γάμους, ὑρίξουσι ποινάς· ἄλλας μέν, εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων ὦσι συνοικεσίων, μείζους δέ, εἰ καὶ παῖδες ὑπεῖεν· εἰ μὲν γὰρ οὐχ ὕπεστι γονὴ, τὸ τῆς ἀτιμίας εὐθὺς ἀκολουθήσει καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμωμένη καὶ οὐ λήψεταί τι

(*) Γνωστὸν ἔστω ὅτι τοῦτο γίνεται, ἐὰν τὰ τέκνα ᾖναι ὑπεξούσια. διότι ἐὰν ᾖναι αὐτεξούσια, ὁ πατὴρ λαμβάνει κατὰ καρπείαν μόνον ἓν μέρος ἀπὸ τὰ μητρικὰ πράγματα τῶν ἰδίων του τέκνων, ἕως ὅτου ζῇ, τὴν

17. Ἡ ἐκ δευτέρου ὑπανδρευθεῖσα μήτηρ, ἐὰν ἀποθάνῃ τέκνον αὐτῆς ἄτεκνον καὶ ἀδιάθετον καὶ ἀνῆκέν τι εἰς αὐτὸ ἀπὸ τὴν προγαμιαίαν δωρεὰν ἢ ἀπέκτησεν ἀπὸ τὴν πατρικὴν περιουσίαν, τούτου τὴν χρῆσιν κληρονομεῖ μόνη αὐτὴ ἐξ ἀδιαθέτου, τὴν δὲ κυριότητα φυλάττει εἰς τοὺς ἀδελφοὺς ἢ ἀδελφὰς ἐκείνου· ὅσα δὲ περιῆλθον εἰς αὐτὸν ἄλλοθεν, κληρονομεῖ καὶ τὴν κυριότητα αὐτῶν· ἐὰν δὲ ἀφήσῃ τι εἰς αὐτὴν τὸ τέκνον της διὰ διαθήκης, τούτου ἔχει καὶ τὴν κυριότητα.

18. Ἡ μήτηρ τὰ μὲν τροφεῖα ὅσα ἔδωκεν εἰς τὰ τέκνα της δὲν δύναται ν' ἀπαιτήσῃ, ἐὰν δὲν ἐξώδευσέ τι χρησίμως εἰς τὰ πράγματα αὐτῶν, τοῦτο δύναται ν' ἀπαιτήσῃ διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς.

19. Ἡ διάταξις προστάττει ὅτι οἱ πατέρες ὀφείλουσι ἀναμφιβόλως νὰ ἔχωσι τὴν χρῆσιν τῶν μητρικῶν πραγμάτων, καὶ ἐὰν ἦλθον εἰς δεύτερον γάμον, καὶ ὅτι εἰς τὰ τέκνα ἢ εἰς ὁποιονδήποτε ἄλλον ἐκ προσώπου αὐτῶν δὲν δύναται νὰ ἁρμόζῃ καμμία ἀναιδὴς φωνὴ ἢ μέμψις κατὰ τῶν πατέρων.

20. Εἰ δέ τινες μὴ ἀρκούμενοι εἰς τὸν πρότερον γάμον καὶ συναρθῶσιν εἰς δεύτερον, ἐὰν μὲν ἀπὸ τὸν πρότερον γάμον ἢ καὶ ἀπὸ τοὺς δύο μένουσιν ἄτεκνοι, δὲν ἀναζητῆται τίποτε περὶ τοῦ δευτέρου, ἀλλ' οἱ μὲν ἄνδρες ἀποχωροῦσιν ὅλως ἐλεύθεροι ἀπὸ πᾶσαν παρατήρησιν· εἰς δὲ τὰς γυναῖκας εἶναι φόβος μόνον, μήπως ἔλθωσιν εἰς δεύτερον γάμον πρὸ τοῦ ἐτησίου χρόνου ἢ ὀφείλουσι νὰ γνωρίζωσιν, ὅτι ἐὰν πράξωσι τοιοῦτό τι καὶ συνάψωσι πρόωρον γάμον ὑπόκεινται εἰς ποινάς· ἄλλας μὲν, ἐὰν ἀπὸ τὸ πρότερον συνοικέσιον ἔμεινον ἄτεκνοι, μεγαλειτέρας δὲ, ἐὰν ἔχωσι καὶ τέκνα· διότι εἰ μὲν γονὴ δὲν ὑπάρχει, ἀκολουθεῖ εὐθὺς ἀτιμία καὶ διὰ τὴν ταχύτητα πρὸς γάμον ἀτιμοῦται διαφοροτρόπως ἡ γυνὴ καὶ

δὲ κυριότητα παραπέμπει πρὸς τοὺς υἱοὺς μετὰ τὸν θάνατον αὐτοῦ, ὡς πλατύτερον ἐκθέτεται εἰς τὸ περὶ κληρονόμων, ὅπου λέγεται. Εἶχέ τις γυναῖκα καὶ τέκνα καὶ τὰ ἑξῆς.

τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου οὔτε ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς οὔτε τῷ συνοικοῦντι κατὰ δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας.

21. Οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας οὐδὲ λήψεταί τι παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν οὐ κλῆρον οὐδὲ ληγάτον, οὐ τὴν μετὰ θάνατον δωρεὰν, ἀλλὰ ταῦτα ἐλεύσεται ἢ μενεῖ παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος ἢ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο κληρονομεῖν ὅλως, οἷα ταύτης οὐδ' ὁτιοῦν ὅρελος ἐχούσης. Ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι, εἴτε ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα· οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μή ποτε δόξωμεν τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας.

22. Ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει, τὰ δέ γε παρὰ τοῦ πρώτου συνοικήσαντος ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας, τουτέστιν ἀνιόντας καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι ϛ'. βαθμοῦ, τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως, ὧν οὐχ ὑφεστώτων ἐπὶ τὸ ταμεῖον ἐλεύσεται. Ἀλλ' οὐδὲ περαιτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου βαθμοῦ θεωρουμένου πανταχόθεν στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῇ, οἱ περαιτέρω δὲ ὄντες ἑτέρους ἐξουσι κληρονόμους· εἰ δὲ παῖδες εἶεν, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄρελός τι τῶν ἀντιγραφομένων ἔχει.

23. Πλὴν εἰ μὴ βούλεται τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν, τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας δωρουμένη μοῖραν καθαρῶς αἱρέσεως πάσης χωρὶς καὶ οὐδὲ τὴν χρῆσιν παρακατέ-

δεν λαμβάνει τι ἀπὸ ὅσα ἀφέθησαν εἰς αὐτὴν ἀπὸ τὸ πρότερον συνοικέσιον οὔτε ἀπολαύει τὴν προγαμιαίαν δωρεὰν οὔτε εἰς τὸν δεύτερον σύζυγον δίδει παραιτέρω τοῦ τρίτου μέρους τῆς περιουσίας της.

21. Οὐδὲ τὰς ἔξωθεν χάριτας κερδαίνει οὐδὲ λαμβάνει ὁλοτελῶς ἀπὸ κανένα ἐξωτικὸν οὔτε κληρονομίαν οὔτε κληροδότημα, οὔτε τὴν μετὰ θάνατον δωρεὰν, ἀλλὰ ταῦτα μεταβαίνουσι ἢ μένουσιν εἰς τοὺς κληρονόμους τοῦ ἀποθανόντος ἢ συγκληρονόμους αὐτῆς, ἐὰν κατά τινα τρόπον ἠδύνατο νὰ κληρονομῇ, διότι αὕτη δὲν ἔχει τὸ παραμικρὸν ὄρελος. Ἀλλ' ἐὰν τύχωσι γεγραμμένοι καὶ ἄλλοι κληρονόμοι, εἴτε καὶ ἐξ ἀδιαθέτου καλοῦνται, πρὸς τούτους μεταβαίνουσι τὰ εἰς τὴν γυναῖκα ταύτην ἀφινόμενα· διότι δὲν οἰκειοποιεῖται ταῦτα τὸ δημόσιον ταμεῖον, μήποτε φανῶμεν ὅτι κανονίζομεν τὰ τοιαῦτα ἐκ προμελέτης πρὸς ὠφέλειαν τοῦ ταμείου.

22. Ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἐξωτικῶν ἀφινόμενα εἰς αὐτὴν μεταβαίνουσιν πρὸς ἄλλους, τὰ δὲ ἀπὸ τὸν πρῶτον σύζυγον ἀφαιρούμενα ἀπὸ αὐτὴν μεταβαίνουσιν πρὸς τὰ δέκα πρόσωπα τῆς συγγενείας τοῦ καταλιπόντος αὐτὰ ἀνδρὸς, τουτέστιν ἀνιόντας καὶ κατιόντας καὶ πλαγίους εἰς τὸν δεύτερον βαθμὸν, οἱ δὲ βαθμοὶ φυλάττουσι τὴν ἰδίαν των τάξιν, καὶ ἐάν τις ἐξ αὐτῶν δὲν ὑπάρχῃ μεταβαίνουσιν εἰς τὸ δημόσιον ταμεῖον. Ἀλλ' οὐδὲ ἀπὸ τοὺς ἰδίους της συγγενεῖς κληρονομεῖ ἐξ ἀδιαθέτου παραιτέρω, ἀλλ' ἡ κληρονομία αὐτῆς ἵσταται μόνον εἰς τὸν τρίτον πανταχόθεν θεωρούμενον βαθμὸν, οἱ δὲ παραιτέρω ἔχουσιν ἄλλους κληρονόμους· εἰ δὲ ἔχει τέκνα, συγχωρεῖται νὰ ζητήσῃ ἀπὸ τὸν βασιλέα τῆς ἀτιμίας συγχώρησιν, ἀπὸ δὲ τὰ ἀντιγραφόμενα δὲν ἔχει κανὲν κέρδος.

23. Εἰ δὲ θέλει νὰ ὠφεληθῇ ἀπὸ τὴν βασιλικὴν συγχώρησιν καὶ ἀπὸ τὰς ἄλλας ποινὰς ν' ἀπαλλαγῇ, δωρεῖ εἰς τὰ ἐκ τοῦ προτέρου γάμου τέκνα τὸ ἥμισυ μέρος τῆς περιουσίας της καθαρῶς χωρὶς κανένα ὅρον καὶ οὐδὲ τὴν χρῆσιν παρακρατεῖ, ἀλλὰ παρα-

χουσα, ἀλλὰ πάσης τῆς οὐσίας τῆς ὅτε πρὸς τοὺς δευτέρους ἐροῦντα γάμους, κατὰ τὴν ἡμίσειαν, καθάπερ ἔφημεν, ἐξισταμένη μοῖραν τοῖς ἔμπροσθεν γινομένοις παισί· καὶ διαιρήσονται τοῦτο οἱ παῖδες ἅπαντες ἐξίσης· καὶ παῖδες μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας· εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται πάντως ἀναλόγως οἱ τούτων ἀδελφοί· εἰ δὲ πάντες προαπέλθοιεν, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ μήτηρ τὸ ταῦτα πάλιν ἀναλαβεῖν. Καὶ ταῦτα φαμὲν, εἴπερ ἀδιάθετοι τελευτήσουσιν οἱ παῖδες· οὐ γὰρ ἐπὶ τοῖς ἅπαξ γενομένοις ὑπ' αὐτῶν εἴρξομεν αὐτοὺς διαθήκας γράφειν, ἢ περιόντας, ὃν βούλονται ταῦτα διατιθέναι τρόπον.

24. Εἰ δὲ καὶ ἀναμένει τὸν χρόνον ἡ γυνὴ καὶ αὐτὴ διαφύγοι τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον, τῶν προτέρων ἀμελήσασα γάμων, εἰ μὲν οὐκ ἔχει παῖδας (εἰρήσθω γὰρ καὶ αὖθις), ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν· εἰ δὲ ὑπείη γονὴ καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι, τηνικαῦτα πάσης φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην αὐτῇ καταλιπὼν τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν· καὶ ταῦτα νενομοθετήσθω καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης, εἴτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν γενομένης ἢ καὶ ἐκ διαθήκης ἢ καὶ τῆς μετὰ θάνατον δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος εἴτε πρεσβεῖον· καὶ οἱ παῖδες αὐτὰ λήψονται κατὰ δεσποτείαν κατὰ τὸν καιρὸν εὐθὺς καθ' ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ.

25. Καὶ ταῦτα κοινὰ γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω, τοῦ μὲν ἐπὶ τῇ προικὶ, τῆς δὲ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς, ὅτιπερ οὐδὲ ἐκποίησιν οὐδεμίαν ἐφίησι τοῖς γονεῦσιν ἐπὶ τοῖς τοιούτοις οὐδὲ ὑποθήκην· ἀλλὰ κἂν εἶτι πράξαιεν οἱ γονεῖς, εὐθέως τὴν ἑαυτῶν ὑποτιθέασιν αὐτοῖς περιουσίαν, οὐχ ὥστε κωλύειν ἐπ' αὐτοῖς τι πράττειν ὧν βούλονται· αἰσχύνεται γὰρ ὁ νόμος σωφρονιστὰς τοὺς παῖδας τοῖς γεννήσασιν ἐπιστῆσαι, ἀλλ' ἐκείνους μὲν

χωρεῖ, ὡς εἴπομεν, εἰς τὰ ἐκ τοῦ προτέρου γάμου τέκνα της τὸ ἥμισυ μέρος τῆς ὅλης περιουσίας ἣν εἶχεν ὅταν ἤρχετο εἰς δεύτερον γάμον· καὶ τοῦτο μοιράζουσιν ὅλα τὰ τέκνα ἐξίσου· καὶ εἰ μὲν ἔχουσι τέκνα εἰς ταῦτα παραπέμπουσι· εἰ δὲ μὴ, τὰ μερίδια τοῦ ἀποθανόντος ἢ τῶν ἀποθανόντων λαμβάνουσιν ἀναλόγως οἱ τούτων ἀδελφοί· εἰ δὲ προαποθάνωσιν ὅλα, ἀναλαμβάνει ταῦτα πάλιν ἡ μήτηρ πρὸς παρηγορίαν τῆς δυσκληρίας αὐτῆς. Καὶ ταῦτα λέγομεν, ἐὰν τὰ τέκνα ἀποθάνωσιν ἀδιάθετα· διότι δὲν ἐμποδίζομεν αὐτὰ νὰ διαθέτωσι τὰ ὅσα ἅπαξ ἐγένοντο ὑπ' αὐτῶν, ἢ ζῶντα νὰ τὰ διαθέτωσι καθ' ὃν τρόπον θέλουσι.

24. Εἰ δὲ καὶ ἀναμένει ἡ γυνὴ τὸν χρόνον καὶ αὐτὴ ἀποφύγῃ τὰς εἰρημένας ποινὰς, ἔλθῃ δὲ εἰς δεύτερον συνοικέσιον, ἀμελήσασα τὸν πρότερον γάμον, ἐὰν μὲν δὲν ἔχῃ τέκνα (διότι ἀνάγκη νὰ λεχθῇ καὶ πάλιν), τὸ τοιοῦτον δὲν φέρει κανένα κίνδυνον· ἐὰν δὲν ὑπάρχῃ γονὴ καὶ ἐκ τούτου ὁ νόμος ἴδῃ ὅτι ἀτιμάζονται τὰ τέκνα, τότε ἀφαιρεῖ πᾶσαν πρὸς αὐτὴν χάριν τοῦ ἀνδρὸς καθ' ὅσον ἀνάγεται εἰς τὴν κυριότητα, ἐγκαταλιπὼν εἰς αὐτὴν μόνην τὴν χρῆσιν καὶ ἐπικαρπίαν. Καὶ ταῦτα νομοθετοῦνται καὶ περὶ τῆς προγαμιαίας δωρεᾶς καὶ ἐπὶ πάσης ἄλλης πρὸς αὐτὴν ἐλθούσης χάριτος εἴτε εἰς ζωὴν εἰς αὐτὴν παρὰ τοῦ ἀνδρὸς γενομένης ἢ καὶ ἐκ διαθήκης ἢ καὶ εἰς δωρεὰν μετὰ θάνατον, εἴτε ἐγκαταστάσεως εἶναι μέρος εἴτε κληρονομήματος· καὶ τὰ τέκνα λαμβάνουσιν αὐτὰ κατὰ κυριότητα εὐθὺς ἅμα ἡ μήτηρ συναρθῇ εἰς γάμον μὲ ἄλλον.

25. Καὶ ταῦτα κεῖνται κοινὰ ἐπιτίμια γυναικὸς καὶ ἀνδρὸς, τούτου μὲν διὰ τὴν προῖκα, ἐκείνης δὲ διὰ τὴν προγαμιαίαν δωρεὰν, διότι οὐδὲ ἐκποίησις καμμία ἐπιτρέπεται εἰς τοὺς γονεῖς διὰ ταῦτα οὐδὲ ὑποθήκη· ἀλλ' ὅ,τι καὶ ἐὰν πράξωσιν οἱ γονεῖς, εὐθὺς ὑποθηκεύουσιν εἰς αὐτὰ τὴν ἰδίαν των περιουσίαν, ὄχι διὰ νὰ τοὺς ἐμποδίζῃ νὰ πράττωσιν εἰς ταῦτα ὅ,τι θέλουσι· διότι ἐντρέπεται ὁ νόμος νὰ καταστήσῃ τὰ τέκνα σωφρονιστὰς τῶν γο-

ἐρυθριᾷ, διαπειλεῖ δὲ τοῖς λαμβάνουσιν, ὡς οὐδὲν αὐτοὺς τὸ ληφθὲν ὀνήσει. Ἴστωσαν γὰρ ἐκ τοῦδε ἡμῶν τοῦ νόμου, ὡς κἂν εἴ τινα παρὰ τῶν τοιούτων γονέων ἀγορασίαν ποιήσαιντο, κἂν εἰ λάβοιεν δωρεὰν, κἂν εἴτι τῶν ἁπάντων πράξαιεν, ἐν ἴσῳ τοῖς μήτε γεγραμμένοις μήτε πεπραγμένοις ἔσται τὸ γενόμενον· ἐκδικηθήσεται γὰρ παρὰ τῶν παίδων καὶ τῶν κληρονόμων αὐτῶν καὶ τῶν διαδόχων· ἐκδικήσουσι γὰρ αὐτὰ πάντως οἱ παῖδες, κληρονόμοι τε αὐτῶν καὶ διάδοχοι παρὰ κληρονόμων ἐκείνων καὶ διαδόχων, οὐκ ἄλλως ἀποκλειόμενοι, εἰ μὴ τριακονταετὴς παρέλθοι χρόνος καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσει· ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες ἢ γενόμενοι, πλὴν εἰ μήτις ἄνηβος ἡλικίᾳ προσβοηθήσειεν ἔτι.

26. Ἐλεύσεται δὲ τὰ τοιαῦτα τῶν κερδῶν εἰς τοὺς παῖδας ἅπαντας τοὺς ἐκ τοῦ πρώτου γάμου· οὐ γὰρ ἐρίεμεν τοῖς γονεῦσιν τὴν οὐκ ὀρθῶς ἐπεισηγμένην ἐπιλογὴν εἰς αὐτοὺς ἐνδείκνυσθαι, οὐδὲ τῷ μὲν τῶν παίδων διδόναι, τὸν δὲ ἀτιμάζειν· ἅπαντες γὰρ ὁμοίως τοῖς δευτέροις ἠτιμάσθησαν γάμοις.

27. Ὅτι εἰ χρῆσιν μόνην πραγμάτων ἢ ὁ ἀνὴρ τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρὶ κατὰ τελευταίαν δοίη βούλησιν, μένειν ταῦτα παρ' αὐτῷ καὶ δευτερογαμοῦντι βουλόμεθα, μέχρι περίεστιν· εἰ μὴ ῥητῶς ὁ τὴν δωρεὰν πεποιημένος ἢ ὁ ταύτην καταλιπὼν εἴτε ἀνὴρ εἴτε γυνὴ φήσειε βούλεσθαι πρὸς δευτέρους ἀφικνουμένου γάμους τοῦ τὴν χρῆσιν λαβόντος λύεσθαι αὐτὴν καὶ πρὸς τὴν οἰκείαν ἀναστρέφειν δεσποτείαν.

28. Ὅτι καὶ ἡ ἐντὸς τοῦ πενθίμου πλημμελήσασα μοιχείαν καὶ γενομένη ἔγκυος στερεῖται καὶ αὐτὴ τοῦ ὑποβόλου, ἀφικνουμένου καὶ τούτου εἰς τοὺς κατὰ γένος τῷ ἀνδρὶ ταύτης προσήκοντας. (B. XXVIII. 15. 2).

29. Ὅτι ὁ νόμος τὰς δευτερογαμούσας κωλύων πάσης ἀπολαύειν φιλοτιμίας τοῦ ἀνδρὸς τὰς μοιχευούσας οὐκ ἐκώλυσεν.

30. Ὅτι ἡ δευτερογαμήσασα γυνὴ τῆς μὲν τοῦ ὑποβόλου δεσποτείας ἐκπίπτει παίδων ὄντων αὐτῇ, τοῦ θεωρήτρου δὲ οὐδαμῶς.

νέων, ἀλλ' ἐκείνους μὲν περιστέλλει διὰ τῆς ἐντροπῆς, τοὺς δὲ λαμβάνοντας ἐπαπειλεῖ ὅτι τὸ ληφθὲν δὲν θὰ τοὺς ὠφελήσῃ. Ἀπὸ δὲ τὸν νόμον τοῦτον μανθάνουσιν ὅτι καὶ ἐὰν ἀγοράσωσί τι ἀπὸ τοὺς τοιούτους γονεῖς, καὶ ἐὰν δωρεὰν λάβωσι, καὶ πᾶν ὅ,τι ἄλλο πράξωσι, τὸ γινόμενον ἰσοδυναμεῖ μὲ ἄγραφον καὶ ἄπρακτον· διότι τὰ τέκνα, οἱ κληρονόμοι αὐτῶν καὶ διάδοχοι θὰ διεκδικήσωσιν ἀναμφιβόλως ταῦτα ἀπὸ τοὺς κληρονόμους ἐκείνων καὶ τοὺς διαδόχους, χωρὶς ἄλλως ν' ἀποκλείωνται, ἐκτὸς ἐὰν παρέλθῃ τριακονταετὴς χρόνος καὶ ἡ κατοχὴ καταστήσῃ τοὺς λαβόντας κυρίους· ὁ δὲ χρόνος ἀρχίζει νὰ τρέχῃ διὰ τὰ τέκνα, ἀφότου φανῶσιν ὅτι εἶναι ἢ ἔγειναν αὐτεξούσια, ἐκτὸς ἐὰν ἀνηλικιότης τις τὰ προσβοηθήσῃ περισσότερον.

26. Μεταβαίνουσι δὲ τὰ τοιαῦτα κέρδη εἰς ὅλα τὰ ἀπὸ τὸν πρῶτον γάμον τέκνα· οὐδὲ ἐπιτρέπομεν εἰς τοὺς γονεῖς νὰ δεικνύωσι εἰς αὐτὰ τὴν ἀλόγως εἰσαχθεῖσαν ἐκλογὴν, οὐδὲ εἰς τὸ μὲν ἓν τέκνον νὰ δίδωσι, τὸ δὲ ἄλλο ν' ἀτιμάζωσι· διότι ὅλα ἐξίσου ἠτιμάσθησαν ἀπὸ τὸν δεύτερον γάμον.

27. Ἐὰν κατὰ τὴν ταιλευταίαν βούλησιν ἢ ὁ ἀνὴρ δώσῃ εἰς τὴν γυναῖκα ἢ ἡ γυνὴ εἰς τὸν ἄνδρα χρῆσιν μόνην πραγμάτων, ταῦτα παραγγέλλομεν νὰ μένωσι εἰς αὐτὸν καὶ ἐλθόντα εἰς δεύτερον γάμον, ἐφ' ὅσον ὑπάρχει· ἐκτὸς ἐὰν ῥητῶς ὁ δωρήσας ἢ ἀφήσας τὴν δωρεὰν ἀνὴρ ἢ γυνὴ εἴπῃ ὅτι θέλει ἐὰν ὁ λαβὼν τὴν χρῆσιν συναφθῇ εἰς δεύτερον γάμον νὰ διαλύηται αὕτη καὶ νὰ ἐπιτρέρῃ εἰς τὴν οἰκείαν της κυριότητα.

28. Ἡ μοιχευθεῖσα ἐντὸς τοῦ πενθίμου καὶ γενομένη ἔγκυος στερεῖται καὶ αὐτὴ τὸ ὑπόβολον, τὸ ὁποῖον μεταβαίνει εἰς τοὺς συγγενεῖς τοῦ ἀνδρός.

29. Ὁ νόμος ἀπαγορεύων τὰς δευτεροϋπάνδρους ν' ἀπολαύωσι πᾶσαν χάριν τοῦ ἀνδρὸς δὲν ἐμποδίζει τὰς μοιχευομένας.

30. Ἡ δευτεροϋπανδρευθεῖσα γυνὴ ἀπὸ μὲν τοῦ ὑποβόλου τὴν κυριότητα ἐκπίπτει, ἐὰν ἔχῃ τέκνα, ἀπὸ δὲ τὸ θεώρητρον ὄχι.

31. Εἰ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε ἀναμφισβήτητον εἶναι τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι θεσπίζομεν τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν ὑποκειμένην.

32. Ὅτι περὶ τρίτου γάμου τόμος συνοδικὸς ἐκαλλιγραφήθη ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ πενθεροῦ αὐτοῦ Ρωμανοῦ κατησφαλισμένος καὶ τῇ συνήθει τοῦ βασιλέως ὑπογραφῇ, πῇ μὲν εἶναι λέγων συγχωρητέον αὐτόν, πῇ δὲ ἀσυγχώρητον· τοὺς μὲν γὰρ πληρώσαντας τὸ τεσσαρακοστὸν ἔτος διγαμήσαντας ἄπαιδας ὄντας συναλλάττειν καὶ τρίτον γάμον, διὰ τὴν θεραπείαν τῆς ἀπαιδείας· τοὺς δὲ τριακονταετεῖς ὄντας, κἂν παῖδας ἔχωσι, τρίτον καὶ αὐτοὺς συναλάττειν γάμον διὰ τὴν τῆς ἡλικίας ἀσθένειαν· πλὴν καὶ τούτους κἀκείνους μετὰ ἐκκλησιαστικῶν ἐπιτιμίων· τοῖς δὲ τὸν μ'. χρόνον ὑπεραναβᾶσιν ἐξ οὐδενὸς τρόπου τὸν τρίτον γάμον εἶναι συγχωρητέον.

33. Ἤδη μὲν οὖν τοῖς ἀρχαίοις γέγραπται νόμος καὶ παρὰ τοῦ εὐσεβεστάτου Ἰουστινιανοῦ κεκύρωται, δι' οὗ καὶ μέχρι δ'. γάμου παρεκτείνεται τὰ συνοικέσια· ἴσως καταστοχαζομένου ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνειν, τὸ ταχέως τὸ συνοικοῦν πρόσωπον αὐτοῖς ἀποβάλλεσθαι ἢ καὶ νέοις ἔτι τοῦτο παθεῖν καὶ οὐδὲν ἀνθίστασθαι πρὸς τὰς τῆς φύσεως ὁρμάς, ὥστε τούτους συμβαίνειν τῶν σωφρόνων γάμων μὲν ἀποτρέπεσθαι, φοιτᾷν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας· ἐχρῆν δὲ καὶ ἡμᾶς, ὡς τῆς αὐτῆς φύσεώς τε καὶ ἀσθενείας κεκοινωνηκότας ἐν τούτῳ τοῖς παλαιοῖς ἐμμεῖναι νόμοις· ἀλλ' ὁρῶμεν θεῖον νόμον ἡμᾶς εἴργοντα. Διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ταῖς ἀνειμέναις τῶν ἐρώτων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη τοσοῦτον ἀπαγορεύει τὸ πρὸς τέταρτον συνοικέσιον ἀρικέσθαι τινὰ, ὥστε καὶ τοὺς εἰς τρίτον ἐλθόντας τοῖς ἐκκλησιαστικοῖς παραπέμπειν κανόσιν· ὥστε οὖν τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ γ'. συνοικεσίου ὅσα καὶ ἐπὶ τοῦ β'. Ἔστω

31. Ἐὰν πρὸ τοῦ πενθίμου χρόνου γεννήσῃ ἡ γυνὴ πρὸς τὸ τέλος τοῦ ἔτους, ὥστε νὰ ἦναι ἀναντίῤῥητον ὅτι ἡ γονὴ δὲν συνελήφθη ἀπὸ τὸ πρότερον συνοικέσιον, διατάσσομεν νὰ στερῆται αὕτη ἐξάπαντος τὴν προγαμιαίαν δωρεὰν καὶ κατὰ κυριότητα καὶ κατὰ χρῆσιν.

32. Περὶ τρίτου γάμου συνεγράφη συνοδικὴ ἀπόφασις ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ τοῦ πενθεροῦ αὐτοῦ Ρωμανοῦ ἐπικυρωμένη καὶ μὲ τὴν συνήθη τοῦ βασιλέως ὑπογραφήν, ποῦ μὲν λέγουσα ὅτι εἶναι συγχωρητὸς, ποῦ δὲ ἀσυγχώρητος· διότι οἱ μὲν συμπληρώσαντες τὸ τεσσαρακοστὸν ἔτος ἐὰν δὲν ἐτεκνοποίησαν ἀπὸ τὸν δεύτερον γάμον συνάπτονται καὶ εἰς τρίτον γάμον πρὸς θεραπείαν τῆς ἀτεκνίας· οἱ δὲ τριακονταετεῖς καὶ ἐὰν ἔχωσι τέκνα, συνάπτονται καὶ αὐτοὶ εἰς τρίτον γάμον διὰ τὴν ἀσθένειαν τῆς φύσεως· πλὴν καὶ οἱ μὲν καὶ οἱ δὲ μὲ ἐκκλησιαστικὰ ἐπιτίμια· εἰς δὲ τοὺς ὑπερβάντας τὸ τεσσαρακοστὸν ἔτος κατ' οὐδένα τρόπον δὲν συγχωρεῖται ὁ τρίτος γάμος.

33. Παλαιὸς ἤδη ὑπάρχει νόμος ἐπικυρωμένος καὶ ἀπὸ τὸν εὐσεβέστατον Ἰουστινιανὸν, δι' οὗ τὰ συνοικέσια ἐκτείνονται καὶ μέχρι τετάρτου γάμου· τοῦτο ἴσως ἐπενοήθη διότι συμβαίνει ὡς φαίνεται εἰς πολλοὺς νὰ χάνηται ταχέως τὸ συνοικοῦν μὲ αὐτοὺς πρόσωπον ἢ καὶ νὰ πάθωσι τοῦτο ἀκόμη νέοι καὶ νὰ μὴ δύνανται ν' ἀνθίστανται εἰς τὰς ὁρμὰς τῆς φύσεως, ὥστε συμβαίνει αὐτοὶ ἀπὸ μὲν τοὺς σώφρονας γάμους ν' ἀποτρέπωνται, νὰ περιπίπτωσι δὲ εἰς μίξεις τινὰς ἀπηγορευμένας· ἔπρεπε λοιπὸν καὶ ἡμεῖς ὡς συμμετέχοντες ἀπὸ τὴν αὐτὴν φύσιν καὶ ἀσθένειαν νὰ ἐμμένωμεν κατὰ τοῦτο εἰς τοὺς παλαιοὺς νόμους· ἀλλὰ βλέπομεν ὅτι μᾶς ἐμποδίζει ὁ θεῖος νόμος. Διὰ τοῦτο καὶ ἡ ἡμετέρα γαληνότης θέλουσα νὰ χαλινώσῃ τὰς ἀκράτους ἐπιθυμίας τῶν ἐρώντων τόσον ἀπαγορεύει νὰ συνάπτηταί τις εἰς τέταρτον γάμον, ὥστε καὶ τοὺς εἰς τρίτον γάμον ἐλθόντας παραπέμπει εἰς τοὺς ἐκκλησιαστικοὺς κανόνας· ὥστε καὶ εἰς τὸ τρίτον συνοικέσιον ἐπικρατοῦσι τὰ αὐτὰ δίκαια ὅσα καὶ εἰς τὸ δεύτερον. Ἔστω

τοίνυν πᾶσι κατάδηλον, ὡς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ νομιζόμενος γάμος λογισθήσεται οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες παῖδες γνήσιοι λογισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασι καθυποβληθήσεται, ἀπ' ἀλλήλων δηλονότι τῶν τοιούτων προσώπων διϊσταμένων.

34. Ἐπειδὴ δὲ παρὰ τοῖς παλαιοῖς ἀνειμένην εὕρομεν τὴν κοινωνίαν τῆς παλλακῆς πρὸς τὸν βουλόμενον αὐτῇ κοινωνεῖν, οὐκ ἔδοξεν ἡμῖν ἀμνημόνευτον ἐᾶσαι ταύτην νομοθεσίαν· ἵνα μὴ καταχραίνηται ἡμῶν ἡ πολιτεία γάμοις οὐκ εὐπρεπέσιν· ὅθεν κελεύομεν ἀπὸ τοῦ νῦν μηδενὶ ἐξὸν ὑπάρχειν παλλακὴν ἐν τῷ ἰδίῳ οἴκῳ κατέχειν· μικρὸν γὰρ ἡ οὐδὲν διαφέρει τῆς πορνείας νομίζομεν· ἀλλ' εἰ βούλοιτο αὐτῇ κοινωνεῖν, γαμικὸν ποιείτω πρὸς αὐτὴν συνάλλαγμα, κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. Εἰ μέντοι ἀναξίαν αὐτοῦ ταύτην κρίνοιτο γυναῖκα ἔννομον κεκλῆσθαι, μηδεμίαν πρὸς ταύτην ἐχέτω κατὰ συνουσίαν κοινωνίαν, ἀλλὰ ταύτην ἀποδιωκέτω καὶ λήψεται ἣν αὐτῷ κρίνοι λυσιτελές· εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, εὐκταῖον ἡμῖν τοῦτο.

35. Ὁ ἐν τάξει γαμετῆς ἀγαγόμενος γυναῖκα μετὰ ὅρκου δόσεως προικὸς μὴ παρακολουθησάσης ἐὰν ἀλόγως αὐτὴν ἐξεώσῃ, διδότω αὐτῇ τὸ τέταρτον τῆς ἰδίας περιουσίας, οὗ δὴ αἰτίαν ῥεπουδίου διδούς· ὃν τρόπον καὶ τελευτῶν ἀναγκάζεται αὐτῇ καταλιμπάνειν τὸ αὐτὸ δ'. πρὸς τῷ καὶ ἔχειν γνησίους παῖδας τοὺς ἐξ αὐτῆς τεχθέντας. Τοῦτο νόει, ἐὰν τρεῖς μόνους παῖδας ἔχῃ ὁ ἀνήρ, εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἄλλης γυναικός.

ΤΙΤΑ. Γ'. — Περὶ Δικαίου Προικός.

1. Ἡ διατετιμημένη προῖξ τῷ ἀνδρὶ κινδυνεύεται, κἂν ἀποθάνῃ τὰ ζῶα κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσι· τῆς δὲ ἀδιατιμήτου καὶ ἡ αὔξησις καὶ ἡ

λοιπὸν εἰς ὅλους φανερὸν ὅτι ἐάν τις τολμήσῃ νὰ συναφθῇ εἰς τέταρτον γάμον ὅστις δὲν εἶναι γάμος, ὄχι μόνον ὡς οὐδὲν λογίζεται ὁ νομιζόμενος γάμος οὐδὲ τὰ ἀπὸ αὐτὸν γεννηθέντα τέκνα ἀναγνωρίζονται ὡς γνήσια, ἀλλὰ καθυποβάλλεται καὶ εἰς τὰς ποινὰς τῶν μεμολυσμένων ἀπὸ τοὺς ῥύπους τῆς πορνείας, δηλονότι χωρίζονται τὰ τοιαῦτα πρόσωπα ἀπ' ἀλλήλων.

34. Ἐπειδὴ εὕρομεν τὴν παλλακὴν εἰς τὸν θέλοντα νὰ συνοικῇ μὲ αὐτὴν ἐπιτρεπομένην ὑπὸ τῶν παλαιῶν, δὲν ἐκρίναμεν εὔλογον ν' ἀφήσωμεν τὴν νομοθεσίαν ταύτην ἀμνημόνευτον· διὰ νὰ μὴ καταμολύνηται ἡ πολιτεία ἡμῶν ἀπὸ ἀπρεπῆ συνοικέσια· ὅθεν διατάττομεν ἀπὸ τὴν σήμερον νά μὴ συγχωρῆται εἰς κανένα νὰ κρατῇ εἰς τὴν οἰκίαν του παλλακήν· διότι νομίζομεν ὅτι ὀλίγον ἢ ποσῶς δὲν διαφέρει ἀπὸ πορνείαν· ἀλλ' ἐὰν θέλῃ τις νὰ συνοικῇ μὲ αὐτήν, τὴν νυμφεύεται κατὰ τὴν ἀκρίβειαν τοῦ νόμου. Εἰ δὲ τὴν νομίζει ἀναξίαν ἑαυτοῦ νὰ ὀνομάζηται νόμιμος αὐτοῦ γυνή, πρέπει νὰ μὴ ἔχῃ μετ' αὐτῆς καμμίαν ἐπιμιξίαν, ἀλλὰ νὰ τὴν ἀποδιώκῃ καὶ λαμβάνῃ ὁποίαν κρίνει κατάλληλον· εἰ δὲ προαιρεῖται νὰ ζήσῃ σωφρόνως, εὐχόμεθα τοῦτο.

35. Ὁ λαβὼν γυναῖκα εἰς τάξιν συζύγου μὲ ὁρκωμοσίαν χωρὶς νὰ παρακολουθήσῃ προῖξ, ἐὰν τὴν ἀποδιώξῃ ἀλόγως, δίδει εἰς αὐτὴν τὸ τέταρτον τῆς ἰδίας του περιουσίας, ὡς δόσας αἰτίαν διαζυγίου· διὰ τὸν αὐτὸν λόγον καὶ ἀποθνήσκων ἀναγκάζεται ν' ἀφίνῃ εἰς αὐτὴν τὸ αὐτὸ τέταρτον ὡς ἔχων τὰ ἀπὸ αὐτὴν γεννηθέντα τέκνα γνήσια. Τοῦτο νόει, ἐὰν τρία μόνα τέκνα ἔχῃ ὁ ἀνήρ, εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἄλλης γυναικός.

ΤΙΤΑ. Γ'. – Περὶ δικαιώματος προικός.

1. Ἡ ἐκτιμημένη προῖξ εἶναι εἰς κίνδυνον τοῦ ἀνδρός, καὶ ἂν ἀποθάνωσι τὰ ζῶα καὶ ἐὰν ἡ γυνὴ κατατρίψῃ τὸ φόρεμα, δίδει τὴν ἀξίαν αὐτῶν· τῆς δὲ ἀνεκτιμήτου καὶ ἡ αὔξησις καὶ ἡ ἐλάτ-

μείωσις τὴν γυναῖκα ὀρῇ, καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων· τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει· πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα, καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγενομένων. Ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται· μετὰ γὰρ τὸν γάμον ἀληθής ἐστι πρᾶσις, πρὸ δὲ τοῦ γάμου ὑπὸ αἵρεσιν, καὶ ἠρτημένης τῆς αἱρέσεως ἐὰν συμβῇ τελευτῆσαι, σβέννυται ἡ πρᾶσις (*). (Β. XXIX. 1. 6.)

2. Ἐὰν μὲν διατιμηθῶσι τὰ ζῶα καὶ διαβιβασθῶσιν ἐν τῇ ποσότητι τῆς προικὸς, ἐνέχεσθαι λέγουσι τὸν ἄνδρα εἰς τὴν τούτων ἀντιστροφὴν καὶ ἀπόδοσιν ἢ τῶν ζώων αὐτῶν, ἢ τῆς τῶν ζώων τιμῆς· ἐὰν δὲ μὴ διατιμηθῶσιν, ἀλλὰ δοθῶσιν ἀτίμητα, τοῦτο μόνον χρεωστεῖ ὁ ἀνὴρ ἐπ' αὐτοῖς, ἵνα μὴ ἀμελήσῃ μηδὲ ποιήσῃ τινὰ δολιότητα εἰς αὐτά· εἴ τι δὲ ἄλλο συμβῇ, ὁ ἀνὴρ οὐκ ἐνέχεται.

3. Τῶν γάμων μὴ γενομένων οὐ τὴν διατίμησιν τῶν δοθέντων διατετιμημένων ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει.

4. Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβὼν τὴν διατίμησιν πιστεύεται ἔχειν ἐν τῇ προικὶ, καὶ οὐχὶ τὰ πράγματα· ὅθεν διαλυομένου τοῦ γάμου, δύναται μὴ τὰ πράγματα αὐτὰ, ἀλλὰ τὴν διατίμησιν αὐτῶν ἀποδιδόναι. (Β. XXIX. 1. 92.)

5. Καὶ συνεστῶτος τοῦ γάμου δυνατὸν συμφωνεῖν τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον καὶ τῇ γυναικὶ κινδυ-

(*) Αὔξησιν εἰς τὸ παρὸν καὶ ἐλάττωσιν τῆς προικὸς λέγει τὴν γενομένην ἀπὸ τὴν φύσιν, τουτέστιν ἐὰν προστεθῶσι τόποι, καθὼς εἰς ποταμοὺς καὶ νήσους ἢ ἐὰν αὐξηθῶσι δένδρα ἢ καὶ ἄλλα τινὰ τυχηρὰ γείνωσιν· αἱ δὲ βελτιώσεις, τὰς ὁποίας κάμνει ὁ ἀνὴρ εἰς τὰ ἀνεκτίμητα, ἀναλαμβάνονται ἀπὸ αὐτόν. Εἰ δὲ ὁ ἀνὴρ παραλάβῃ εἰς προῖκα οἰκίαν ἢ προάστειον, εἰ μὲν τὸ παρέλαβε κατὰ ἐκτίμησιν, χρεωστεῖ τὸ τίμημα, καὶ ἂν τὸ ἐβελτίωσεν, αὐτὸς κερδαίνει· εἰ δὲ τὸ ἐλάττωσεν, εἰς βάρος αὐτοῦ εἶναι καὶ ἐνέχεται. Εἰ δὲ κατὰ συμφωνίαν παραλάβῃ κτῆμα διὰ τριῶν λόγ. χ. λίτρας, ἔπειτα μέλλων νὰ τὸ ἀποδώσῃ ἐνάγεται, ἀναγκάζεται

τωσις ἀποβλέπει τὴν γυναῖκα, καὶ αὐτὴ λαμβάνει τὴν γονὴν τῶν δούλων· τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν ζώων λαμβάνει ὁ ἀνήρ· ἀναπληρῶν ὅμως πρότερον τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν ἀποθανόντων ἀπὸ τὰ γεννηθέντα. Ἐὰν δὲ πρὸ τοῦ γάμου ἀποθάνωσί τινα ἀπὸ τὰ ἐκτιμημένα, ἡ γυνὴ ζημιοῦται· διότι μετὰ τὸν γάμον εἶναι ἀληθὴς πώλησις, πρὸ δὲ τοῦ γάμου ὑπὸ ὅρον, καὶ ἐὰν πρὶν πληρωθῇ ὁ ὅρος συμβῇ νὰ χαθῶσι, σβένεται ἡ πώλησις.

2. Ἐὰν μὲν ἐκτιμηθῶσι τὰ ζῶα καὶ μεταβιβασθῶσιν εἰς τῆς προικὸς τὴν ποσότητα, λέγουσιν ὅτι ὁ ἀνὴρ ἐνέχεται εἰς τὴν ἐπιστροφὴν αὐτῶν καὶ ἀπόδοσιν ἢ αὐτῶν τῶν ζώων, ἢ τῆς τιμῆς τῶν ζώων· ἐὰν ὅμως δὲν ἐκτιμηθῶσιν, ἀλλὰ δοθῶσιν ἀνεκτίμητα, τοῦτο μόνον χρεωστεῖ ὁ ἀνὴρ δι' αὐτὰ, ἵνα μὴ ἀμελήσῃ μηδὲ πράξῃ δολιότητά τινα εἰς αὐτά· ὅ,τι δὲ ἄλλο συμβῇ, ὁ ἀνὴρ δὲν ἐνέχεται.

3. Ἐὰν δὲν γείνῃ ὁ γάμος ἡ γυνὴ ἀναλαμβάνει ὄχι τὸ τίμημα τῶν δοθέντων ἐκτιμημένων, ἀλλὰ τὰ πράγματα.

4. Ὁ ἀνὴρ λαβὼν ἐκτετιμημένην προῖκα πιστεύεται ὅτι ἔχει εἰς τὴν προῖκα τὴν ἐκτίμησιν, καὶ ὄχι τὰ πράγματα· ὅθεν διαλυομένου τοῦ γάμου δύναται ν' ἀποδίδῃ ὄχι τὰ πράγματα αὐτὰ, ἀλλὰ τὴν ἐκτίμησιν αὐτῶν.

5. Καὶ συνεστῶτος τοῦ γάμου δύναται νὰ συμφωνηθῇ ἡ ἐκτιμημένη προῖξ νὰ γείνῃ ἀνεκτίμητος καὶ νὰ ἦναι εἰς κίνδυνον τῆς

νὰ ἀποδώσῃ κτῆμα τριῶν λιτρῶν, καὶ ὄχι τὸ τίμημα· διότι λέγει ὅτι παρέλαβον αὐτὸ εἰς προῖκα χωρὶς νὰ τὸ ἐκτιμήσω, ἀλλὰ κατὰ συμφωνίαν. Εἰ μὲν ἐλάττωσέ τι τοῦ κτήματος, ἐνέχεται εἰς τὴν ζημίαν· εἰ δὲ ἀντὶ νὰ τὸ ἐλαττώσῃ τὸ ἐβελτίωσε, δύναται νὰ λογίζῃ ἢ νὰ λαμβάνῃ τὰς βελτιώσεις, χωρὶς νὰ χειροτερεύῃ τὸ ὑποκείμενον. Εἰ δὲ αὐτὸ δὲν ἠλάττωσεν, ἀλλὰ τὸ διεφύλαξεν εἰς τὸ ἀρχαῖον σχῆμα, τὸ ἀποδίδει καὶ δὲν εὐθύνεται εἰς τῶν τριῶν λιτρῶν τὴν ποσότητα· διότι εἰς τὴν ἐλάττωσιν ἐνέχεται, ἂν ἔβλαψεν ἑκουσίως.

νεύειν· εἰ δὲ βλάψῃ τοὺς ἀγροὺς ὁ ἀνὴρ, ἐνέχεται τῇ ἀγωγῇ τῇ περὶ προικός. (B. XXIX. 5. 27).

6. Δύναται τὰ συμβόλαια τῆς προικὸς καὶ συνεστώτων ἔτι τῶν γάμων ἐναλλάσσεσθαι, τοῦ πατρὸς τῆς κόρης τοῦτο κελεύσαντος ἐν διαθήκῃ· καὶ αὐξάνεσθαι καὶ ἐλαττοῦσθαι δύναται ἡ προὶξ συνεστώτων τῶν γάμων.

7. Ὁ ἀνὴρ, οὐχὶ ἡ κόρη ἀπαιτεῖ τὴν προῖκα ἀπὸ παντὸς ἐπαγγειλαμένου, τοῦ γάμου συνεστῶτος.

8. Ὁ ἀνὴρ παραλαμβάνων τὴν προῖκα ἐγγύας οὐκ ἀπαιτεῖται· ἐγγυητὴς γὰρ οὐ δίδοται ἐπὶ τῇ γυναικείᾳ προικὶ, εἰ μὴ πρὸ τοῦ γενέσθαι τὴν μνηστείαν τοῦτο συνεφωνήθη. (*)

9. Ἐπὶ ὑποσχέσει προικὸς καὶ ἀπὸ ψιλοῦ ῥήματος ἡ συμφωνίας ἐνέχεταί τις. (B. XXIX. 1. 86.)

10. Ἀπὸ ψιλῆς ἐπαγγελίας χρεωστεῖ ὁ πατὴρ προῖκα.

11. Τὴν προῖκα ἡ ἀρίθμησις, οὐχ ἡ γραφὴ τοῦ προικῴου συμφώνου ποιεῖ. (B. XXIX. 5. 41.)

12. Ἐάν τις ὑποδεξάμενος προῖκα περὶ πλειόνων ἔγραψεν ἐν τῷ προικῴῳ συμβολαίῳ ὡς δοθέντων αὐτῷ, εἰ μὲν μὴ κατὰ βούλησιν τοῦ προικίζοντος, οὐδὲν αὐτῷ πρόκριμα ποιεῖ· ἐὰν δὲ βουλο-

(*) Τὸ παρὸν σχόλιον τοῦ ρμδ'. κεφαλαίου τὸ λέγον. Τὰ ἁρμόζοντα εἰς τὰ πρόσωπα προνόμια σβύνονται μὲ τὰ πρόσωπα αὐτά· τὰ δὲ ἐνυπάρχοντα εἰς τὰς ἀγωγὰς μεταβαίνουσι πρὸς ὅλους. Εἰς τοῦτο προσθέτομεν καὶ ἡμεῖς πρὸς παράδειγμα. Ὁ νόμος ἔδωσεν εἰς τὸν ἄνδρα προνόμιον, ἐὰν ἐνάγηται ἀπὸ μέρος τῆς γυναικός του, διὰ νὰ ἀποδώσῃ τὴν παραληφθεῖσαν ἀπὸ αὐτὸν προῖκα, νὰ καταδικάζηται ἕως εὐπορίαν. Τί δὲ σημαίνει καταδικάζεται ἕως εὐπορίαν, ἐγεινε γνωστὸν πολλαχόθεν. Τοῦτο λοιπὸν τὸ προνόμιον μετὰ θάνατον τοῦ ἀνδρὸς ἄλλος κληρονόμος αὐτοῦ νὰ ἔχῃ δὲν δύναται, ἐκτὸς ἐὰν ἦναι υἱός του. Ὅταν δὲ ὁ κληρονόμος τοῦ ἀποθανόντος ἀνδρὸς δὲν ἦναι υἱός του, ἀλλὰ ἐξωτικὸς, τότε δὲν καταδικάζεται ἕως εὐπορίαν, ἀλλ' εἰς ὁλόκληρον τῆς προικὸς τὴν ποσότητα· διότι τὸ προνόμιον τοῦτο καὶ ἡ ἀπὸ τὸν νόμον χάρις εἰς μόνον τὸν ἄνδρα καὶ τοὺς κληρονόμους υἱούς του δίδεται συνήθως, καὶ ὄχι εἰς τοὺς ἐξωτικοὺς τοῦ ἀν-

γυναικός· εἰ δὲ ὁ ἀνὴρ βλάψῃ τοὺς ἀγροὺς, ἐνέχεται διὰ τῆς περὶ προικὸς ἀγωγῆς.

6. Τὸ προικοσύμφωνον δύναται καὶ συνεστῶτος ἀκόμη τοῦ γάμου νὰ ἀλλάσσηται, ἐὰν διέταξε τοῦτο εἰς διαθήκην ὁ πατὴρ τῆς κόρης· καὶ ν' αὐξάνηται καὶ νὰ ἐλαττοῦται δύναται ἡ προὶξ τοῦ γάμου συνεστῶτος.

7. Ὁ ἀνὴρ, ὄχι ἡ γυνὴ συνεστῶτος τοῦ γάμου ἀπαιτεῖ τὴν προῖκα ἀπὸ πάντα ὑποσχεθέντα.

8. Ὁ ἀνὴρ παραλαμβάνων τὴν προῖκα δὲν ὑπόκειται εἰς ἐγγυήσεις· διότι διὰ τὴν προῖκα τῆς γυναικὸς δὲν δίδεται ἐγγυητὴς, ἐκτὸς ἐὰν συνεφωνήθη τοῦτο πρὶν γείνῃ ἡ μνηστεία.

9. Εἰς ὑπόσχεσιν προικὸς ἐνέχεταί τις καὶ ἀπὸ ψιλὸν λόγον ἢ συμφωνίαν.

10. Ἀπὸ ψιλὴν ὑπόσχεσιν χρεωστεῖ ὁ πατὴρ προῖκα.

11. Τὴν προῖκα συνιστᾷ ἡ μέτρησις καὶ ὄχι ἡ γραφὴ τοῦ προικοσυμφώνου.

12. Ἐάν τις παραλαβὼν προῖκα ἔγραψεν εἰς τὸ προικοσύμφωνον ὅτι τοῦ ἐδόθησαν περισσότερα, εἰ μὲν παρὰ θέλησιν τοῦ προικίζοντος, ποσῶς δὲν βλάπτει αὐτόν· ἐὰν δὲ κατὰ θέλησιν αὐτοῦ

δρὸς κληρονόμους. Εἶναι δὲ προνόμιά τινα, τὰ ὁποῖα συνακολουθοῦσι καὶ συμμεταφέρονται πάντοτε μὲ τὰ πράγματα, εἰς ὅσα προσκολληθῶσιν· ἐὰν ὁ ἀγρός μου λόγου χάριν ἀντλήσῃ εἰς τρία ἔτη νερὸν ἀπὸ τὸ πηγάδι τοῦ γειτονεύοντος ὁηλ. ἄλλου ἀγροῦ, ἐνῷ σὺ ὁ κύριος βλέπεις καὶ τὸ ἀνέχεσαι καὶ ἀποκτήσῃ ἀντλήσεως δικαίωμα, δὲν τὸ χάνει πλέον, καὶ εἰς πολλὰς κυριότητας πωλούμενος καὶ ἀγοραζόμενος ἐὰν αὐτὸς μεταβῇ· τὸ δὲ προσκολληθὲν ἅπαξ εἰς αὐτὸν τοῦτο δικαίωμα ἔχει πάντοτε εἰς ἑαυτόν, καὶ τὸ μεταδίδει εἰς τοὺς ἀποκτῶντας αὐτόν· διότι δὲν εἶναι προσωπικόν, καθὼς καὶ τὸ τοῦ ἀνδρὸς διὰ νὰ σβυσθῇ καὶ αὐτὸ μὲ τοῦ προσώπου τὸν θάνατον· διότι ὁ νόμος ἐχάρισεν ἐκεῖνο διὰ τὴν περιποίησιν καὶ τὸ πρὸς τὸν ἄνδρα σέβας· τὸ δὲ ἀποκτηθὲν εἰς τὸν ἀγρὸν τῆς ἀντλήσεως δικαίωμα συμπαρεκτείνεται διὰ παντὸς μὲ αὐτὸν καὶ συμμεταφέρεται.

μένου αὐτοῦ ἔδοξε σύμφωνον γενέσθαι καὶ περὶ τῶν ἄλλων πραγμάτων, ὡς καὶ ταῦτα αὐτῷ δοθῆναι λόγῳ προικὸς, καὶ ἐπειδὴ ἀπὸ ψιλῆς ἐπαγγελίας ἀπαίτησιν αἱ προῖκες ἔχουσι, δύναται ταῦτα ἀπαιτεῖν.

13. Ὁ γαμβρὸς γράψας ἐν τῷ γαμηλίῳ συμφώνῳ πλείονα τῶν δοθέντων εἰς προῖκα παρὰ τὴν θέλησιν τοῦ προικίζοντος ἀπαιτεῖ καὶ ταῦτα. (Β. XXIX. 1. 84.)

14. Καὶ ἀγράφως δυνατὸν ἐπιδοθῆναι προῖκα, καὶ ἐὰν ἐγγράφως ἐπεδόθη καὶ ἀπώλλοντο τὰ συμβόλαια, οὐδὲν ἧττον ἀπαιτεῖται ἡ προῖξ, ἐὰν ὅλως ἀποδείκνυται ὅτι παρεσχέθη.

15. Ἡ παρὰ ἐξωτικοῦ ὁμολογηθεῖσα προῖξ τῇ γυναικὶ ἐγκινδυνεύεται· εἰ δὲ τόκον ἀναλάβοι ὁ ἀνὴρ, λοιπὸν αὐτῷ κινδυνεύει. (Β. XXIX. 1. 67.)

16. Ἐὰν ἐξωτικὸς ἐπαγγειλάμενος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ἐγκινδυνεύει, εἰ μὴ ἄρα κατὰ δωρεὰν ἐπηγγείλατο· τότε γὰρ τοῦ ἀνδρὸς φειδόμεθα μὴ κατακρημνίσαντος πρὸς καταβολὴν τὸν δωρησάμενον· ἐπειδὴ καὶ οἱ δωρούμενοι μέχρις εὐπορίας καταδικάζονται. (Β. XXIX. 1. 29.)

17. Ἐὰν ὁμολογήσῃ τις εἴσω ἐνιαυτοῦ διδόναι προῖκα, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως, ἀλλὰ τῶν γάμων ἀριθμεῖται. (Β. XXIX. 1. 44.)

18. Ἐὰν ὁ κουράτωρ ὁμολογήσῃ ρ'. νομ. ὑπὲρ προικὸς τῆς κουρατωρευομένης καὶ χρέους ἀναφανέντος εὑρεθῇ μὴ ἔχουσα τοσαῦτα ἡ οὐσία, οὐ βοηθεῖται. (Β. XXXVII. 7. 42.)

19. Γενικῶς θεσπίζομεν, ἵνα εἴ τις τῶν κέ. ἐτῶν εἴτε ἄῤῥην εἴτε θήλεια προῖκα ἐπηγγείλατο ἢ δέδωκεν ὑπὲρ οἱασδήποτε γυναικὸς, ἔνθα νόμιμος γάμος ἐστὶ, παντὶ τρόπῳ ἀναγκάζεται τὴν ἰδίαν ὁμολογίαν πληρῶσαι, εἰ καὶ δι' ἀνάγκην ἴσως τοῦτο πεποίηκεν. (Β. XXVI. 7. 89.)

20. Ὁ κατὰ πλάνην νομίσας χρεωστεῖν γυναῖκα καὶ διὰ τοῦτο προῖκα ὑπὲρ αὐτῆς ἐπερωτηθεὶς, προβαινόντων τῶν γάμων, ἀπαιτεῖται αὐτὴν ἰσχυρῶς.

ἐκρίθη εὔλογον νὰ γένῃ συμφωνία καὶ περὶ τῶν ἄλλων πραγμάτων, ὅτι καὶ ταῦτα τὸν δίδονται λόγῳ προικὸς, καὶ ἐπειδὴ ἀπὸ ψιλὴν ὑπόσχεσιν ἀπαιτοῦνται αἱ προῖκες, δύναται ν' ἀπαιτῇ ταῦτα.

13. Ἐὰν ὁ γαμβρὸς γράψῃ εἰς τὸ προικοσύμφωνον περισσότερα ἀπὸ ὅσα τοῦ ἐδόθησαν εἰς προῖκα, παρὰ θέλησιν τοῦ προικίζοντος, ἀπαιτεῖ καὶ ταῦτα.

14. Καὶ ἀγράφως δύναται νὰ δοθῇ προῖξ, καὶ ἐὰν ἐγγράφως ἐδόθη καὶ ἐχάθησαν τὰ ἔγγραφα, οὐδὲν ἧττον ἀπαιτεῖται, ἐὰν ἐντελῶς ἀποδεικνύεται ὅτι παρεδόθη.

15. Ἡ ἀπὸ ἐξωτικοῦ ὑποσχεθεῖσα προῖξ εἶναι εἰς κίνδυνον τῆς γυναικός· εἰ δὲ λάβῃ τόκον ὁ ἀνὴρ, ἔκτοτε εἰς αὐτὸν τρέχει ὁ κίνδυνος.

16. Ἐὰν ἐξωτικὸς ὑποσχεθεὶς προῖκα περιέλθῃ εἰς ἔνδειαν, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ὑποφέρει τὸν κίνδυνον, ἐκτὸς ἐὰν ὑπεσχέθη κατὰ δωρεάν· διότι τότε φειδόμεθα τὸν ἄνδρα μὴ βιάσαντα τὸν δωρητὴν πρὸς καταβολήν· ἐπειδὴ καὶ οἱ δωρηταὶ μέχρις εὐπορίας καταδικάζονται.

17. Ἐὰν ὑποσχεθῇ τις νὰ δώσῃ προῖκα ἐντὸς ἔτους, τὸ ἔτος ἀριθμεῖται ὄχι ἀπὸ τὴν ἡμέραν τῆς συμφωνίας, ἀλλ' ἀπὸ τοῦ γάμου.

18. Ἐὰν κηδεμὼν ὑποσχεθῇ 100 νομισμ. πρὸς προῖκα τῆς κηδεμονευομένης καὶ χρέους ἀναφανέντος εὑρεθῇ ὅτι ἡ περιουσία δὲν ἔχει τόσα, δὲν βοηθεῖται.

19. Γενικῶς διατάσσομεν, ὥστε ἐάν τις εἰκοσιπενταετὴς εἴτε ἀνὴρ εἴτε γυνὴ ὑποσχεθῇ προῖκα ἢ ἔδωκεν ὑπὲρ οἱασδήποτε γυναικὸς, ὅπου ὑπάρχει νόμιμος γάμος, ἀναγκάζεται παντοιοτρόπως νὰ ἐκπληρώσῃ τὴν ὑπόσχεσίν του, ἂν καὶ κατ' ἀνάγκην ἴσως ἔκαμε τοῦτο.

20. Ὁ κατὰ πλάνην νομίσας ὅτι χρεωστεῖ εἰς γυναῖκα καὶ διὰ τοῦτο ὑπεσχέθη ὑπὲρ αὐτῆς προῖκα, τοῦ γάμου τελεσθέντος, ἀπαιτεῖ αὐτὴν ἰσχυρῶς.

21. Ὅτι οἱ ἥττονες προῖκα ἐπαγγειλάμενοι θάλπονται. (Β. Χ. 4. 9.)

22. Ὁ ἐπαγγειλάμενος προῖκα μετὰ διετίαν τοῦ γάμου δίδωσι τόκους ἀπὸ τριτης ἑκατοστῆς. (Β. XXIX. 1. 118.)

23. Ἐὰν γνώμῃ τῆς αὐτεξουσιας μου θυγατρὸς ἐπιδῷ τὰ δωρηθέντα αυτῇ παρ' ἐμοῦ, οὐκ ἐγὼ, ἀλλ' αὐτὴ δεδωκέναι δοκεῖ.

24. Ἐὰν ἐν συνεστῶτι τῷ γαμῳ δανείσηται ὁ ἀνὴρ παρά τινος ἐπὶ τῳ ἀγοράσαι οἰκηματα καὶ γράψῃ τοῦτο ἐν τῇ ὠνῇ καὶ ἐν τῇ ὁμολογίᾳ, ἐπιζητῇ δὲ μετὰ λύσιν τοῦ γάμου ἡ γυνὴ την προῖκα, νικᾷ δανειστὴν καὶ ἀναλαμβάνει τὰ οἰκηματα· εἰ γὰρ καὶ περιέχεται τῇ ὠνῇ, ὅτι ἐκ τῶν τοῦ δεῖνος νομισμάτων ἠγοράσθησαν τὰ κτηματα, ἀλλ' ὅγε νόμος τοῦτο οὐ προσίεται, διὰ τὰς κακουργίας τῶν ἀνδρῶν καὶ τὸ προνόμιον τῶν γυναικῶν. Ἐὰν δὲ συνεστῶτος τοῦ γάμου βουλόμενος ὁ ἀνὴρ ωνησασθαί τι προσιλθῃ τινὶ περὶ δανείου, ὁ δὲ φοβούμενος τὴν προῖκα τὰ μὲν νομίσματα μὴ παράσχῃ τῷ ἀνδρί, τῷ δὲ πράτῃ πράσεως γενομένης ἐπιδῷῃ μὲν τὰ νομίσματα επὶ μαρτύρων, εἰς προσωπον δὲ τοῦ ἀνδρὸς ταύτην γενέσθαι παρασκευάσῃ, τότε ἥττᾶται ἡ προῖξ ἐπὶ τοῖς οἰκημασιν.

25. Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσιν (*). (Β. XXIX. 1. 30.)

(*) Τὸ κεφάλαιον τοῦτο φαίνεται, ὅτι ἀντίκειται τρόπον τινὰ εἰς τὸ λεγόμενον ἀπὸ τὸν Θαλελαῖον εἰς τὸ ε. βιβλ. τοῦ Κώδικος, ὅτι τὸ ἀγοραζόμενον ἀπὸ προικιμαῖα νομίσματα δὲν εἶναι τῆς κυριότητος τῆς γυναικός. Καὶ λέγει, ὅτι τοῦτο μὲν κρατεῖ, ὅταν ὁ ἀνὴρ εὐπορῇ· διότι χρεωστῶν ἀποδίδει αὐτὰ τὰ νομίσματα καὶ ὄχι τὸ ἀγορασθὲν ἀπὸ αὐτά· τὸ δὲ ἄλλο, ὅταν ἀπορήσῃ ὁλοτελῶς ὁ ἀνήρ· διότι μὴ εὐπορῶν νὰ ἀποδώσῃ τὰ χρήματα, ἀφίνει εἰς τῆς γυναικὸς τὴν κυριότητα, ὅσα ἠγοράσθησαν ἀπὸ αὐτά. Τὸν ἀγρὸν τὸν ἀγορασθέντα παρὰ τοῦ ἀνδρὸς ἀπὸ τὰ προικιμαῖα χρήματα, δὲν προσκτᾶται ἡ σύζυγος· διότι οὐδὲ ἠδύνατο αὐτη νὰ προσαποκτήσῃ τὴν ἀπὸ ἀγορασίας ἀγωγήν, ἀλλ' ἂν ὁ ἀνὴρ δὲν συνεβιβάσθη, τὴν ἀποδίδει τὸ ἐλλεῖπον ἀπὸ τὴν προῖκα. Ὁ δὲ Στέφανος, ἐπιφέρων ἄλλην

21. Οἱ ἀνήλικοι ὑποσχεθέντες προῖκα βοηθοῦνται.

22. Ὁ ὑποσχεθεὶς προῖκα μετὰ διετίαν ἀπὸ τὸν γάμον δίδει τόκους τρεῖς τοῖς ἑκατόν.

23. Ἐὰν κατὰ γνώμην τῆς αὐτεξουσίας μου θυγατρὸς δώτω ὅσα ἐδώρησα εἰς αὐτὴν, ὄχι ἐγὼ ἀλλ' αὐτὴ θεωρεῖται ὅτι ἔδωκεν.

24. Ἐὰν συνεστῶτος τοῦ γάμου ὁ ἀνὴρ δανεισθῇ ἀπό τινα διὰ νὰ ἀγοράσῃ οἰκήματα καὶ γράψῃ τοῦτο εἰς τὸ ἔγγραφον τῆς ἀγοραπωλησίας, μετὰ δὲ τὴν διάλυσιν τοῦ γάμου ἐπιζητῇ ἡ γυνὴ τὴν προῖκα, νικᾷ τὸν δανειστὴν καὶ ἀναλαμβάνει τὰ οἰκήματα· διότι καὶ ἐὰν περιέχηται εἰς τὸ ἔγγραφον τῆς ἀγορᾶς ὅτι τὰ κτήματα ἠγοράσθησαν ἀπὸ τὰ νομίσματα τοῦ δεῖνος, ἀλλὰ τοῦτο ὁ νόμος δὲν ἀποδέχεται διὰ τὰς κακουργίας τῶν ἀνδρῶν καὶ τὸ προνόμιον τῶν γυναικῶν. Ἐὰν δὲ συνεστῶτος τοῦ γάμου θέλων ὁ ἀνὴρ ν' ἀγοράσῃ τι προστρέξῃ εἴς τινα περὶ δανείου, οὗτος δὲ φοβούμενος τὴν προῖκα δὲν παραδώσῃ τὰ νομίσματα εἰς τὸν ἄνδρα, ἀλλὰ τὰ ἐγχειρίσῃ εἰς τὸν πωλητὴν ἐνώπιον μαρτύρων μετὰ τὴν πώλησιν καὶ φροτίσῃ νὰ γείνῃ αὕτη εἰς πρόσωπον τοῦ ἀνδρὸς, τότε νικᾶται ἡ προῖξ εἰς τὰ οἰκήματα.

25. Τὰ ἀγορασθέντα ἀπὸ προικιμαῖα χρήματα εἶναι προικιμαῖα.

διάκρισιν, λέγει, ὅτι καθὸ ὁ ἀνὴρ εἶναι ἄπορος, τὰ ἀγορασθέντα ἀπὸ τὰ προικιμαῖα δίδονται εἰς τὴν προῖκα κατὰ προτίμησιν ἀπὸ τοὺς ἄλλους δανειστάς· πρᾶγμα ἄλογον· διότι καὶ χωρὶς τὴν νομοθεσίαν ταύτην ἡ γυνὴ ἔχει σιωπηρὰν ὑποθήκην κατὰ τῶν ὑπαρχόντων τοῦ ἀνδρός. Ἀλλ' ἡ μγ'. διάταξις λέγει, ὅτι ἐὰν τὰ σταθμητὰ, τὰ ἀριθμητὰ, τὰ μετρητὰ πράγματα δοθῶσιν εἰς προῖκα, εἶναι εἰς βάρος τοῦ ἀνδρός· διότι δίδονται διὰ νὰ τὰ πωλήσῃ ὁ ἀνήρ, ὅπως θέλει, καὶ μετὰ τοῦ γάμου τὴν διάλυσιν νὰ ἀποδοθῶσιν ἄλλα τοῦ αὐτοῦ γένους καὶ τῆς αὐτῆς ποιότητος. Καὶ σταθμητὰ μὲν εἶναι ὁ ἄργυρος, ἀριθμητὰ δὲ τὰ νομίσματα, καὶ μετρητὰ σῖτος, οἶνος, ἔλαιον. Τοῦτο δὲ μὴ ὑπολάβῃς, ὅτι ὁ ἀνὴρ ἐὰν ᾖναι εὔπορος καὶ δύναται μετὰ τοῦ γάμου τὴν διάλυσιν νὰ ἀποδώσῃ εἰς τὴν γυναῖκα, ὅσα χρήματα ἔλαβεν, ἀναγκάζεται νὰ τῇ ἀποδίδῃ, ὡς εἶπον, μετὰ τὴν διάλυσιν τοῦ γάμου τὰ ἀγορασθέντα πράγματα· διότι εἶναι γνωστὸν ἀπὸ ὅσα

26. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προῖξ ὀφείλει εἶναι· παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἔπονται, ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή. (Β. XXIX. 1. 52.)

27. Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου· οἱ μέντοι πρὸ τοῦ γάμου ληφθέντες καρποὶ τῆς προικὸς γίνονται· εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη.

28. Ἐὰν τοὺς καρποὺς τῶν προικιμαίων πραγμάτων ἔλαβεν ἡ γυνή, εἰ μὲν ἐδαπάνησεν αὐτούς, ἐκέρδησεν· εἰ δὲ πλουσιωτέρα γέγονεν ἐξ αὐτῶν, ἀποκαθίστησι τῷ ἀνδρί.

29. Ὁ πατὴρ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐπερωτώμενος δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι· ὅθεν εἰ πράγματα ἔχει ὁ παῖς ἀπροσπόριστα, μένουσι σῶα, μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν, ὡς ἐκ τούτων τὴν πρὸ γάμου δωρεὰν ἐποιησάμην· ἐχρῆν γὰρ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως ταῦτα προειπεῖν. (Β. XXIX. 1. 87.)

30. Καὶ ἡ ιγ'. Νεαρὰ τοῦ κυροῦ Λέοντος περὶ τοῦ φυλάττεσθαι τὴν ἐπαγγελίαν τῆς προικὸς, ἢ ἐκ πατρῴας ἢ μητρῴας περιουσίας φησίν. Θεσπίζομεν κατὰ τοὺς τοῦ γονέως λόγους οὕτω προβαίνειν καὶ τὴν τῶν λόγων ἐκπλήρωσιν· καὶ μόνον μὲν ἀπαιτεῖσθαι τὴν ὑπόσχεσιν, ἐπειδὰν μόνος ὑπόσχηται παρασχεῖν· σὺν τῷ παιδὶ δὲ, ἐπειδὰν σὺν ἐκείνῳ, εἴτε δι' ἴσου τῶν μερῶν λαμβα-

λέγει ὁ Γάϊος εἰς τὸν μϐ'. Πανδ. ὅτι παραλαβὼν ὁ ἀνὴρ κατὰ λόγον προικὸς πράγματα σταθμητὰ, ἀριθμητὰ, καὶ μετρητὰ, δὲν χρεωστεῖ αὐτὰ τὰ ληφθέντα, ἀλλὰ καὶ ἄλλα τοῦ αὐτοῦ γένους καὶ τῆς αὐτῆς ποιότητος. Τὸ δὲ λεχθὲν, ὅτι τὰ ἀγορασθέντα ἀπὸ προκιμαῖα χρήματα φαίνεται ὅτι εἶναι προικιμαῖα, ἀνάγεται εἰς τοῦτο, ὥστε μετὰ τοῦ γάμου τὴν διάλυσιν, ἐὰν ὁ ἀνὴρ ἦναι ἄπορος καὶ δὲν ἔχῃ νὰ ἀποδώσῃ εἰς τὴν γυναῖκα τὴν εἰς αὐτὸν δοθεῖσαν ποσότητα τῶν χρημάτων, νὰ δυνηθῇ ἡ γυνὴ νὰ κινῇ τὴν πραγματικὴν ἀγωγὴν κατὰ τῶν ἀγορασθέντων πραγμάτων, ὡς καὶ τούτων προικιμαίων ὑπολαμβανομένων ὅτι εἶναι· διότι κατὰ τῶν προικιμαίων πραγμάτων τῶν ὑπαρχόντων δύναται ἡ γυνὴ, ἐὰν ὁ ἀνὴρ ἄπορῇ νὰ κινῇ τὴν κατ' εὐθεῖαν πραγματικὴν ἀγωγὴν, διαλυθέντος ἢ καὶ συνεστῶ-

26. Ὅπου εἶναι τὰ βάρη τοῦ γάμου, ἐκεῖ ὀφείλει νὰ ἦναι καὶ ἡ προῖξ· εὐθὺς δὲ μετὰ τὸν θάνατον τοῦ πατρὸς ἀκολουθοῦσι τὸν υἱὸν, καθὼς καὶ τὰ τέκνα καὶ ἡ γυνή.

27. Ὁ ἀνὴρ λαμβάνει τοὺς καρποὺς τῆς προικὸς διὰ τὰ βάρη τοῦ γάμου· οἱ πρὸ τοῦ γάμου ὅμως ληφθέντες καρποὶ γίνονται τῆς προικὸς, ἐκτὸς ἐὰν συνεφωνήθη τὸ ἐναντίον.

28. Ἐὰν ἡ γυνὴ ἔλαβε τοὺς καρποὺς τῶν προικῴων πραγμάτων, εἰ μὲν τὰ ἐξώδευσεν, ἐκέρδησεν· εἰ δὲ ἐξ αὐτῶν ἔγεινε πλουσιωτέρα, τοὺς ἀποδίδει εἰς τὸν ἄνδρα.

29. Ὅταν ὁ πατὴρ ὑποσχεθῇ προῖκα ἢ προγαμιαίαν δωρεὰν ὑπὲρ τῶν ἰδίων του τέκνων θεωρεῖται ὅτι τὴν κάμνει ἀπὸ τὴν ἰδίαν του περιουσίαν· ὅθεν ἐὰν τὸ τέκνον ἔχῃ πράγματα ἀτομικὰ, μένουσι σῶα, διότι δὲν δύναται ὁ πατὴρ νὰ λέγῃ μετὰ ταῦτα ὅτι ἀπὸ αὐτὰ ἔκαμον τὴν προγαμιαίαν δωρεάν· διότι ὤφειλε νὰ προείπῃ ταῦτα εἰς τὸν καιρὸν τ ῆς συμφωνίας.

30. Καὶ ἡ 13 Νεαρὰ τοῦ κυροῦ Λέοντος λέγει νὰ φυλάττεται ἡ τῆς προικὸς ὑπόσχεσις ἢ ἀπὸ πατρικὴν ἢ ἀπὸ μητρικὴν περιουσίαν. Διατάσσομεν ὥστε κατὰ τοὺς λόγους τοῦ γονέως οὕτω νὰ προβαίνῃ καὶ ἡ ἐκπλήρωσις τῶν λόγων του· καὶ μόνον ν' ἀπαιτῆται μὲν ἡ ὑπόσχεσις, ὅταν μόνος ὑπεσχέθη νὰ δώσῃ· μὲ τὸν υἱὸν δὲ, ὅταν μετ ἐκείνου, εἴτε ἐξίσου λαμβάνονται τὰ μερίδια,

τος ἀκόμη τοῦ γάμου, καὶ προτιμᾶται ἀπὸ πάντα δανειστήν. Τὴν κατ' εὐθεῖαν δὲ πραγματικὴν, εἶπον, διότι τὴν ἐνυπόθηκον πραγματικὴν ἀγωγὴν ἔχι μόνον κατὰ τῶν προικιμαίων, ἀλλὰ καὶ κατὰ τῶν ἄλλων τοῦ ἀνδρὸς πραγμάτων δύναται νὰ κινῇ ἡ γυνὴ καὶ προτιμᾶται καὶ εἰς ταῦτα ἀπὸ πάντα δανειστὴν τοῦ ἀνδρὸς, καθὼς καὶ τοῦτο ἀναφέρεται εἰς τὸ ἡ. βιβλ. τοῦ Κώδικος. Λέγει δὲ καὶ ὁ Οὐλπιανός· ὅτι ἐὰν γυνὴ συναρῇ μὲ δοῦλον νομίσασα ὅτι οὗτος εἶναι ἐλεύθερος καὶ τὸν δώσῃ πράγματα κατὰ λόγον προικὸς, προτιμᾶται ἀπὸ τὸν δεσπότην αὐτὸν τοῦ δούλου καὶ εἰς τὰ δοθέντα κατὰ λόγον προικὸς πράγματα καὶ εἰς τὰ ἀγορασθέντα ἀπὸ αὐτὰ· διότι καὶ αὐτὰ ὑπολαμβάνονται ὅτι εἶναι προικιμαῖα. Ὥστε καὶ κατὰ θεσματισμὸν τοῦτον ἐπικρατεῖ τοῦ προκειμένου νόμου ἡ ἑρμηνεία.

νομένων, ὅτε μὴ καὶ αὐτὰ προσδιορισθῇ, εἴτε ἀνίσως, ὅτε μὴ ἀπροσδιόριστα ᾖ.

31. Ἡ γυνὴ οὐ μόνον, ἃ εἶχεν ὁ ἀνὴρ πρὸ τοῦ γάμου, ὑποκείμενα ἔχει, ἀλλὰ καὶ εἴ τι μετὰ σύστασιν τοῦ γάμου ἐκέρδανε, τυχὸν ἀπὸ κληρονομίας ἢ ληγάτου· μὴ ἀναγκαζούσης αὐτῆς τὸν ἄνδρα μὴ βουλόμενον ὑπεισελθεῖν κληρονομίᾳ ἢ ἄλλῳ τινὶ κέρδει· οὐ γὰρ δίδωσιν αὐτῇ ὁ νόμος ἄδειαν, ἐφ' οἷς οὐ βούλεται ὁ ἀνὴρ κερδαίνειν, ἐνοχοποιεῖν τοῦτον.

32. Καὶ συνεστῶτος τοῦ γάμου κινεῖ περὶ τῆς προικὸς ἡ γυνή, ἀφ' οὗ ἄρξηται μὴ ἀρκεῖν πρὸς τὸ ποσὸν αὐτῆς ἡ οὐσία τοῦ ἀνδρός. (Β. XXVIII. 8. 24).

33. Τὸ ἀπὸ προικιμαίων νομ. ἀγοραζόμενον οὔκ ἐστι τῆς δεσποτείας τῆς γυναικός· ἀλλ' ἐὰν μέρος μόνον τῆς προικὸς ἐπανέλαβεν ἡ γυνὴ, μὴ ὡς ἐπὶ διαλύσει, δύναται περὶ τοῦ ὑπολοίπου μέρους τῆς προικὸς ἐνάγειν· τὴν γὰρ δεσποτείαν τούτων τῶν πραγμάτων οὐκ ὀφείλει διεκδικῆσαι, ἀλλὰ μόνην τὴν τιμήν. (Β. XXIX. 1. 99.)

34. Γυνὴ καὶ συνισταμένων ἔτι τῶν γάμων, ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς καὶ ἐξωπροίκων διακρατῆσαι τὴν αὐτοῦ οὐσίαν, ὡς ἀπὸ ὑποθήκης· καὶ εἴτε ἐνάγεται, ἔχει παραγραφὴν, εἴτε ἐνάγει, νικᾷ καὶ οὐκ ἀντίκειται αὐτῇ τὸ μήπω διαλυθῆναι τὸν γάμον· ἀλλὰ τέως μὲν λαμβάνει τὰ πράγματα οὕτως, ὡσὰν εἰ διελύθη ὁ γάμος καὶ ἥρμοσεν αὐτῇ ἡ περὶ προικὸς ἀπαίτησις. Λοιπὸν δὲ οἱ δανεισταὶ εἴ τινας νομίζουσιν ἔχειν ἀγωγὰς, ταύτας ὀφείλουσι κινῆσαι κατὰ τοῦ ἀνδρὸς, ἤτοι τῶν αὐτοῦ πραγμάτων ὅσα ἂν ἐπικτήσηται. Ἡ γυνὴ δὲ οὐδὲν δύναται ἐκποιεῖν ἐν τῷ μεταξὺ ζῶντος τοῦ ἀνδρός· δι' οὐδὲν γὰρ ἕτερον λαμβάνει τὰ πράγματα ἡ γυνὴ, εἰ μὴ μόνον ἵνα καρπῶται καὶ τρέφῃ ἑαυτὴν καὶ τὸν ἄνδρα καὶ τοὺς κοινοὺς αὐτῶν παῖδας.

35. Ὅτι ἡ γυνὴ ἐν τούτῳ ἀκίνητα μὲν οὐ δύναται ἐκποιεῖν, κινητὰ δὲ δι' ἀνάγκην καὶ δι' ἔνδειαν ἐκποιεῖ. Ἐὰν μέντοι ἡ γυνὴ

ὅταν καὶ ταῦτα δὲν προσδιορισθῶσιν, εἴτε ἀνίσως, ὅταν δὲν ἦναι ἀπροσδιόριστα.

31. Ἡ γυνὴ ἔχει ὑπόχρεα ὄχι μόνον ὅσα ὁ ἀνὴρ εἶχε πρὸ τοῦ γάμου, ἀλλὰ καὶ ὅ,τι μετὰ τὴν σύστασιν τοῦ γάμου ἐκέρδησε λ. χ. ἀπὸ κληρονομίαν ἢ κληροδότημα· χωρὶς αὐτὴ ν' ἀναγκάζῃ τὸν ἄνδρα ν' ἀποδέχηται ἀκουσίως κληρονομίαν ἢ ἄλλο τι κέρδος· διότι ὁ νόμος δὲν δίδει εἰς αὐτὴν τὴν ἄδειαν εἰς ὅσα δὲν θέλει ὁ ἀνὴρ νὰ κερδαίνῃ, νὰ τὸν ἐνοχοποιῇ.

32. Καὶ συνεστῶτος τοῦ γάμου κινεῖ περὶ τῆς προικὸς ἡ γυνὴ, ἀφότου ἡ περιουσία τοῦ ἀνδρὸς ἀρχίσῃ νὰ μὴ ἐξαρκῇ πρὸς τὴν ποσότητα τῆς προικὸς αὐτῆς.

33. Τὸ ἀγοραζόμενον ἀπὸ προικῷα νομίσματα δὲν εἶναι τῆς κυριότητος τῆς γυναικός· ἀλλ' ἐὰν μέρος μόνον τῆς προικὸς ἀνέλαβεν ἡ γυνὴ, ὄχι πρὸς διάλυσιν, δύναται νὰ ἐνάγῃ περὶ τοῦ ὑπολοίπου μέρους τῆς προικός· διότι δὲν ὀφείλει νὰ διεκδικῇ τὴν κυριότητα τῶν πραγμάτων τούτων, ἀλλὰ μόνον τὸ τίμημα.

34. Γυνὴ καὶ συνεστῶτος ἀκόμη τοῦ γάμου, ἐὰν βλέπῃ ὅτι ὁ ἀνὴρ περιῆλθεν εἰς ἀπορίαν, δύναται κατὰ λόγον ὑποθήκης νὰ κρατήσῃ τὴν περιουσίαν τοῦ ἀνδρὸς ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς καὶ ἐξωπροίκων· καὶ εἴτε ἐνάγεται, ἔχει ἔνστασιν, εἴτε ἐνάγει, νικᾷ καὶ δὲν ἀντίκειται εἰς αὐτὴν ὅτι δὲν διελύθη ἀκόμη ὁ γάμος· ἀλλὰ πρὸς ὥραν μὲν λαμβάνει τὰ πράγματα, ὡσεὶ διελύθη ὁ γάμος καὶ τὴν ἥρμοζεν ἡ περὶ προικὸς ἀπαίτησις. Εἰς τὸ ἑξῆς οἱ δανεισταὶ ἐὰν νομίζωσιν ὅτι ἔχωσιν ἀγωγάς τινας, ταύτας ὀφείλουσι νὰ κινήσωσι κατὰ τοῦ ἀνδρὸς, ἤτοι τῶν πραγμάτων του ὅσα προσαποκτήσῃ. Ἡ δὲ γυνὴ δὲν δύναται τίποτε νὰ ἐκποιήσῃ ἐνόσῳ ζῇ ὁ ἀνήρ· διότι ἡ γυνὴ δὲν λαμβάνει δι' ἄλλο τι τὰ πράγματα, εἰ μὴ μόνον διὰ νὰ τὰ καρποῦται καὶ τρέφῃ ἑαυτὴν καὶ τὸν ἄνδρα καὶ τὰ κοινὰ αὐτῶν τέκνα.

35. Ἡ γυνὴ εἰς τὴν περίστασιν ταύτην ἀκίνητα μὲν δὲν δύναται νὰ ἐκποιῇ, κινητὰ δὲ ἐκποιεῖ δι' ἀνάγκην καὶ δι' ἔνδειαν.

ἀκίνητον ἐκποιήσῃ, δύναται ὁ ἀνὴρ κινεῖν κατὰ τοῦ ἀγοραστοῦ· μετὰ δὲ τὴν ἀποβίωσιν αὐτοῦ οὐκ ἀνατρέπεται ἡ πρᾶσις παρὰ τῆς γυναικός. (Β. XXIX. 1. 116.)

36. Πᾶσα χρόνου παραγραφὴ ἀντικειμένη τῇ γυναικὶ ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζέσθω αὐτῇ, ἐξ οὗ ἠδύνατο κινῆσαι· εἰ μὲν εὔπορός ἐστιν ὁ ἀνήρ, ἐκ τῆς τοῦ γάμου διαλύσεως· εἰ δὲ ἄπορος ἐκ τοῦ καιροῦ τῆς ἀπορίας.

37. Οὐκ ὀφείλει προσκυροῦσθαι τῇ γυναικὶ ἡ τοῦ ἀνδρὸς οὐσία ἀντὶ τῆς προικὸς, ἐὰν ἐπὶ κληρονόμοις ἐτελεύτησεν· εἰ δὲ ἀκληρονόμητος ἐτελεύτησε, τότε κατὰ τοὺς νόμους γενέσθω τὸ ἀζήμιον τῇ γυναικὶ πρὸς τὸ ἐγχωροῦν.

38. Καὶ ἐν ταῖς ὑποθήκαις προτιμᾶται προῖξ τῶν προγενεστέρων δανειστῶν, κἂν ἀναλωθῶσι τὰ πράγματα τῆς γυναικὸς, καὶ παῖδας μὴ ποιήσῃ, ἐξῃρημένης προτέρας προικός· ἐνταῦθα γὰρ ἡ προτέρα προτιμᾶται. Ταῦτα ἐπὶ προικὸς, οὐ μὴν πρὸ γάμου δωρεᾶς φαμέν· ἐκείνη γὰρ κατὰ τοὺς οἰκείους χρόνους ἐξετάζεται· ἄλλως τε ζημιουμένας, οὐ μὴν κερδαινούσας βοηθοῦμεν ταῖς γυναιξίν. (Β. XXV).

39. Ἐὰν ἐπηγγείλατο ἡ γυνὴ προῖκα διδόναι, μὴ εἴποι δὲ ποσότητα ἡ πρᾶγμα ῥητὸν, ἄχρηστός ἐστιν ἡ τῆς προικὸς ἐπαγγελία, ὡς δυναμένης τῆς γυναικὸς εὐτελέστατόν τι παρασχεῖν· πατὴρ δὲ ἐπαγγειλάμενος προῖκα ὑπὲρ τῆς ἰδίας θυγατρὸς κἂν μὴ εἴπῃ ποσότητα, ἔρρωται ἡ ἐπαγγελία· ὁ γὰρ πατὴρ οὕτω λέγων οὐχ ὅσην θέλει, δίδωσι προῖκα, ἀλλ' ὅσην εὐπορεῖ.

40. Ἐὰν υἱὸς ἔχων γονεῖς ἀγάγηται γαμετὴν καὶ μὴ λάβῃ κλῆρον καὶ τελευτήσῃ ἔχων παῖδας, οὐ δύναται ἡ γυνὴ αὐτοῦ ἀπαιτεῖν καὶ ζητεῖν τὸν κλῆρον τοῦ ἀνδρὸς ἀπὸ τῶν γονέων, εἴπερ πολλάκις ὁ ἀνὴρ τὴν προῖκα κατεσπατάλησεν, ἀλλ' οἱ παῖδες ἐκείνου (*).

(*) Σημείωσαι ὅτι εἰς τοῦτο οὔτε πατέρες συνῄνεσαν, οὔτε προῖκα ὑπεσχέθησαν, οὔτε κατὰ τὸν καιρὸν τοῦ γάμου προσδιωρίσθη ἀπὸ τοὺς

Ἐὰν ὅμως ἡ γυνὴ ἐκποιήσῃ ἀκίνητον, δύναται ὁ ἀνὴρ νὰ ἐνάξῃ τὸν ἀγοραστήν· μετὰ δὲ τὸν θάνατον αὐτοῦ δὲν ἀνατρέπεται ἡ πώλησις ἀπὸ τὴν γυναῖκα.

36. Πᾶσα χρόνου παραγραφὴ ἀντικειμένη εἰς τὴν γυναῖκα λογαριάζεται ἀπ' ἐκεῖνον τὸν καιρὸν, ἀφότου ἠδύνατο νὰ ἐνάξῃ· εἰ μὲν ὁ ἀνὴρ εἶναι εὔπορος, ἀπὸ τοῦ γάμου τὴν διάλυσιν· εἰ δὲ ἄπορος, ἀπὸ τὸν καιρὸν τῆς ἀπορίας.

37. Δὲν ὀφείλει νὰ προσκυροῦται εἰς τὴν γυναῖκα ἀντὶ τῆς προικὸς ἡ περιουσία τοῦ ἀνδρὸς, ἐὰν ἀπέθανεν ἀφήσας κληρονόμους· εἰ δὲ ἀπέθανε χωρὶς ν' ἀφήσῃ κληρονόμους, τότε κατὰ τοὺς νόμους γίνεται ὅσον τὸ δυνατὸν τὸ ἀζήμιον εἰς τὴν γυναῖκα.

38. Καὶ εἰς τὰς ὑποθήκας προτιμᾶται ἡ προῖξ ἀπὸ τοὺς προγενεστέρους δανειστὰς, καὶ ἐὰν ἐξοδευθῶσι τὰ πράγματα τῆς γυναικὸς καὶ δὲν τεκνοποιήσῃ, ἐκτὸς τῆς προτέρας προικός· διότι τότε προτιμᾶται ἡ προτέρα. Ταῦτα λέγομεν ἐπὶ προικὸς, καὶ ὄχι περὶ προγαμιαίας δωρεᾶς· διότι ἐκείνη ἐξετάζεται κατὰ τοὺς ἰδίους της χρόνους· ἄλλως αἱ γυναῖκες βοηθοῦνται ζημιούμεναι καὶ ὄχι κερδαίνουσαι.

39. Ἐὰν ἡ γυνὴ ὑπεσχέθη νὰ δώσῃ προῖκα, δὲν εἶπε δὲ ποσότητα ἢ πρᾶγμα ῥητὸν, ἡ ὑπόσχεσις τῆς προικὸς εἶναι ἀνωφελὴς, ὡς δυναμένης τῆς γυναικὸς νὰ δώσῃ τι εὐτελέστατον· ἐὰν δὲ ὁ πατὴρ ὑπεσχέθη προῖκα ὑπὲρ τῆς ἰδίας του θυγατρὸς καὶ ἐὰν δὲν εἴπῃ ποσότητα, ἡ ὑπόσχεσις ἰσχύει· διότι ὁ πατὴρ λέγων οὕτω δὲν δίδει ὅσην προῖκα θέλει, ἀλλ' ὅσην εὐπορεῖ.

40. Ἐὰν υἱὸς ἔχων γονεῖς νυμφευθῇ καὶ δὲν λάβῃ κληρονομίαν καὶ ἀποθάνῃ ἔχων τέκνα, δὲν δύναται ἡ γυνὴ ν' ἀπαιτῇ καὶ νὰ ζητῇ τὴν κληρονομίαν τοῦ ἀνδρὸς ἀπὸ τοὺς γονεῖς αὐτοῦ, καὶ ἐὰν πολλάκις ὁ ἀνὴρ κατεξώδευσε τὴν προῖκα, ἀλλὰ τὰ τέκνα ἐκείνου.

γονεῖς κληρονομία εἰς τὸν υἱὸν, καὶ διὰ τοῦτο οὐδὲ εἰς τὴν γυναῖκα ἁρμόζει κατὰ τὸ παρὸν νὰ κινῇ περὶ τοῦ ὑποβόλου.

41. Πατὴρ καὶ μήτηρ προικίζοντες παῖδα ὅσα ἐξ αὐτῶν δώσουσιν, εἰ καὶ δαπανηθῶσι παρὰ τοῦ λαβόντος, εἰς ταῦτα οὐκ εὐθύνονται παρὰ τοῦ παιδός· ὅσα δὲ τυχὸν δώσουσι μὴ ἀφ' ἑαυτῶν, ἀλλὰ τυχὸν πατὴρ ὑπὲρ μητρὸς ἢ μήτηρ ὑπὲρ πατρὸς ἢ ἐξ ἄλλων, ἐπὶ τούτοις ὀφείλουσι ποιεῖν πρόνοιαν, ἵνα περισώζωνται τῷ παιδί· ἐπεὶ πάλιν εὐθύνονται εἰς τὴν τούτων ἀπόδοσιν· καὶ τοῦτο ἔκρινεν ὁ Μάγιστρος.

42. Ἡ διάταξις κελεύει ἀπὸ πάσης ὁμολογίας ἀπαίτησιν ἔχειν τὴν προῖκα, εἰ μὴ προηγήσατο ἡ ἐπερώτησις.

43. Εἶπεν ἁπλούστερον ὁ πατὴρ, ὅτι δίδωμι προῖκα ἢ προγαμιαίαν δωρεὰν, πάντως οἴκοθεν δίδωσι μὴ ἁπτόμενος παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων· εἰ μὲν ἄπορός ἐστιν αὐτὸς παντελῶς, ἀπὸ τῶν τοῦ παιδὸς παρεχέτω· εἰ δὲ ἔχει οὐσίαν ἀρκοῦσαν, τὸ ὅλον ἐκ τῶν οἰκείων διδότω. Ἔδει γὰρ αὐτὸν, εἰ μὲν ἐβούλετο ἐκ τῶν δύο οὐσιῶν γενέσθαι τὴν τῆς προικὸς ἐπίδοσιν ἢ τῆς προγαμιαίας δωρεᾶς, αὐτὸν μὲν ἅπερ ἐβούλετο οἴκοθεν ἐπιδιδόναι, συναινέσαι δὲ τῷ υἱῷ ἢ τῇ θυγατρὶ παρεχομένης τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς ἐκ τῶν διαφερόντων αὐτοῖς πραγμάτων, ἵνικα βουληθῶσι μέρος ἢ τυχὸν πᾶσαν τὴν οὐσίαν ἣν ἔχουσι, τῇ πατρῴᾳ φιλοτιμίᾳ ὑπὲρ προικὸς ἢ προγαμιαίας δωρεᾶς συνάψαι· ἵνα τῇ ἀληθείᾳ δειχθῇ, τί αὐτὸς βούλεται δοῦναι καὶ τί ἐκ τῆς ὑποστάσεως τῶν παίδων ἐξέρχεται.

44. Οὐ μόνον οὐκ ἀναγκάζεται ἡ μήτηρ προικίσαι τὴν θυγατέρα αὐτῆς, ἀλλ' οὐδὲ ἀνὴρ ἐκ τῶν πραγμάτων αὐτῆς μὴ θελούσης (*). (B. XXIX. 1. 101.)

45. Ὅτι γυνὴ μετὰ τοῦ ἀνδρὸς παραλαβοῦσα προῖκα εὐθύνεται εἰς τὸ ἥμισυ· καὶ τοῦτο ἔκρινεν ὁ Μάγιστρος. (B. XXIX. 1. 119.)

46. Ἐπειδὴ ἡ μὲν τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ παραχρῆμα

(*) Τοῦτο εἶναι δεκτὸν περὶ μητρὸς, ὄχι δὲ καὶ περὶ πατρός· διότι τὴν θυγατέρα ἀναγκάζεται νὰ προικίσῃ ὁ πατὴρ, ὅστις καὶ ἀναλαβὼν τὴν

41. Πατὴρ καὶ μήτηρ προικίζοντες τέκνον ὅσα ἀφ' ἑαυτῶν δώσουσι, καὶ ἐὰν τὰ ἐξαδεύσῃ ὁ λαβὼν, δὲν εὐθύνονται εἰς ταῦτα ἀπέναντι τοῦ τέκνου· ὅσα δὲ τυχὸν δώσουσιν ὄχι ἀφ' ἑαυτῶν, ἀλλὰ πατὴρ ἴσως ὑπὲρ μητρὸς ἢ μήτηρ ὑπὲρ πατρὸς ἢ ἀπὸ ἄλλους, διὰ ταῦτα ὀφείλουσι νὰ προνοῶσι διὰ νὰ διατηρῶνται εἰς τὸ τέκνον· διότι πάλιν εὐθύνονται εἰς τὴν ἀπόδοσιν αὐτῶν· καὶ τοῦτο ἀπεφάσισεν ὁ Μάγιστρος.

42. Ἡ διάταξις παραγγέλλει ἵνα ἡ προῖξ ἀπαιτῆται ἀπὸ πᾶσαν ὑπόσχεσιν, ἐὰν δὲν προηγήθη συνομολόγησις.

43. Ἐὰν εἶπεν ὁ πατὴρ ἁπλούστερον, ὅτι δίδω προῖκα ἢ προγαμιαίαν δωρεὰν, ἐξ ἅπαντος ἐκ τῶν ἰδίων του δίδει ποσῶς μὴ ἐγγίζων τὰ πράγματα τοῦ τέκνου· ἐὰν μὲν αὐτὸς εἶναι ἐντελῶς ἄπορος, τὴν δίδει ἀπὸ τὴν περιουσίαν τοῦ τέκνου· ἐὰν δὲ ἔχῃ ἀρκοῦσαν περιουσίαν, δίδει τὸ ὅλον ἐκ τῶν ἰδίων· διότι ἔπρεπεν ἂν ἤθελεν νὰ δοθῇ ἡ προῖξ ἢ ἡ προγαμιαία δωρεὰ ἀπὸ τὰς δύο περιουσίας, αὐτὸς μὲν νὰ δώσῃ ἀπὸ τὰ ἴδιά του ὅσα ἤθελε, νὰ συναινέσῃ δὲ ὅταν ὁ υἱὸς ἢ ἡ θυγάτηρ χορηγῶσι τὴν προῖκα ἢ τὴν προγαμιαίαν δωρεὰν ἀπὸ τὰ ἴδιά των πράγματα, εἰς τὸ νὰ συνενώσωσι ὁπόταν θελήσωσι μέρος ἢ τυχὸν πᾶσαν τὴν περιουσίαν τὴν ὁποίαν ἔχουσι εἰς τὴν πατρικὴν φιλοδωρίαν ὑπὲρ τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς, διὰ νὰ φανῇ κατ' ἀλήθειαν, τί αὐτὸς θέλει νὰ δώσῃ, καὶ τί προέρχεται ἐκ τῆς περιουσίας τῶν τέκνων.

44. Ὄχι μόνον ἡ μήτηρ δὲν ἀναγκάζεται νὰ προικίσῃ τὴν θυγατέρα της, ἀλλ' οὐδὲ ὁ ἀνὴρ ἀπὸ τὰ πράγματα τῆς συζύγου ὅταν αὕτη δὲν θέλῃ.

45. Γυνὴ μετὰ τοῦ ἀνδρὸς παραλαβοῦσα προῖκα εὐθύνεται εἰς τὸ ἥμισυ· καὶ τοῦτο ἀπεφάσισεν ὁ Μάγιστρος.

46. Ἐπειδὴ ἡ μὲν ἀπαιτοῦσα τὴν προῖκα ἀγωγὴ ἀπαιτεῖ ἀ-

προῖκα τὴν δοθεῖσαν εἰς τὴν θυγατέρα του, ὀφείλει νὰ τὴν φυλάττῃ διὰ δεύτερον γάμον.

ἀπαιτεῖ πᾶσαν τὴν προῖκα, ἡ δὲ περὶ τῆς ἀναλήψεως τῆς προικὸς ἀγωγὴ τὰ σταθμώμενα, ἀριθμούμενα, μετρούμενα διὰ τριῶν ἐνιαυτῶν ἀπαιτεῖ, καὶ οὐδὲ εἰς ὁλόκληρον ἐκινεῖτο, ἀλλ' εἰς ὅσον εὐπορεῖ· καὶ ἡ τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ σήμερον εἰς τοσοῦτον κινείσθω, εἰς ὅσον ὁ ἀνὴρ εὐπορεῖ, ἐκτιθέσθω δὲ ἀσφάλειαν τῇ γυναικί, ὡς εἰ ἐπικτήσηται, καταβάλλῃ αὐτῇ· ἡ δὲ ἀπαίτησις μήτε διὰ τριῶν ἐνιαυτῶν γενέσθω, ὡς ἐπὶ τῆς ἀναλήψεως τῆς προικὸς, μήτε παραχρῆμα, ἀλλὰ διὰ ἐνιαυτοῦ καταβαλλέσθω τὰ σταθμώμενα ἢ ἀριθμούμενα ἢ μετρούμενα· τὰ μέντοιγε λοιπὰ πράγματα παραχρῆμα καταβαλλέσθωσαν. Εἰ δὲ ἀναβάλλεται ὁ ἀνὴρ καταβαλεῖν παραχρῆμα ἢ μετὰ ἐνιαυτοῦ παραδρομὴν τὰ ὀφείλοντα καταβληθῆναι, καὶ ὑπὲρ τῶν κινητῶν τόκους ἀπαιτεῖται καὶ τοὺς καρποὺς τῶν ἀκινήτων ἀπὸ τοῦ καιροῦ τῆς λύσεως τῶν γάμων καὶ τὰ ἐνοίκια καὶ τὰ ναῦλα καὶ πάντα ἕτερον καρπόν.

47. Δεῖ εἰδέναι ὅτι ὅταν ἀντιστρέφηται προῖξ, εἰ μέν ἐστιν αὐτεξουσία ἡ κόρη, πρὸς αὐτὴν ἡ προῖξ ἀποδίδοται· εἰ δὲ ἡ κόρη ὑπεξουσία ἐστὶ καὶ ἡ προῖξ παρὰ τοῦ πατρὸς ἐδόθη αὐτῇ, γίνεται κοινὴ αὐτῆς τε καὶ τοῦ πατρός. Ὅταν δὲ πατὴρ προικίσῃ τὴν αὐτοῦ θυγατέρα καὶ μετὰ ταῦτα ἡ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς ἡ διαζυγίου γενομένου θελήσῃ ἡ θυγάτηρ εἰς δεύτερον γάμον ἐλθεῖν, οὐ δύναται ὁ πατὴρ ἐλαττῶσαι τὴν προῖκα καὶ δοῦναι τῇ θυγατρὶ ὀλιγώτερον, παρ' ὃ εἰς τὴν προτέραν προῖκα δέδωκε ταύτῃ· εἰ μὴ ἀπορία τοῦτον ἐπισυμβᾶσα πιέζει. (B. XXVIII. 8 2.)

48. Τῆς θυγατρὸς ἀποθανούσης ἀποδίδοται τῷ πατρὶ ἡ παρ' αὐτοῦ δοθεῖσα προῖξ. (B. XXIX. 1. 2.)

49. Καὶ οἱ μείζους τῶν κέ. ἐτῶν ἐὰν ἀλλήλους περιγράψωσιν ἐν τῇ δόσει τῆς προικὸς, βοηθοῦνται· οὐ συνᾴδει γὰρ τῷ ἀγαθῷ καὶ τῷ δικαίῳ, τινὰ κερδαίνειν ἐκ τῆς ἑτέρου ζημίας ἢ ζημιοῦσθαι κερδαίνοντος ἑτέρου.

50. Εἰ καὶ ἐν τῇ ἐξουσίᾳ τοῦ ἀνδρός ἐστιν ἡ προῖξ, ὅμως τῆς γυναικός ἐστιν· ὅθεν ἐκδικουμένου προικιμαίου ἀγροῦ ἡ γυνὴ κι-

μέσως ὅλην τὴν προῖκα, ἡ δὲ περὶ τῆς ἀναλήψεως τῆς προικὸς ἀγωγὴ ἀπαιτεῖ εἰς τρία ἔτη τὰ σταθμώμενα, ἀριθμούμενα, μετρούμενα, καὶ οὐδὲ ἐκινεῖτο εἰς ὁλόκληρον, ἀλλ' εἰς ὅσον εὐπορεῖ· σήμερον καὶ ἡ ἀπαιτοῦσα τὴν προῖκα ἀγωγὴ εἰς τόσον κινεῖται, εἰς ὅσον εὐπορεῖ ὁ ἀνὴρ, ἀσφαλίζει ὅμως τὴν γυναῖκα ὅτι θὰ τὴν καταβάλλῃ ὅ,τι προσαποκτήσῃ· ἡ δὲ ἀπαίτησις οὔτε εἰς τρία ἔτη γίνεται, καθὼς εἰς τὴν ἀνάληψιν τῆς προικὸς, μήτε ἀμέσως, ἀλλὰ τὰ σταθμώμενα ἢ ἀριθμούμενα ἢ μετρούμενα καταβάλλονται ἐντὸς ἔτους· τὰ δὲ λοιπὰ πράγματα καταβάλλονται ἀμέσως. Εἰ δὲ ὁ ἀνὴρ ἀναβάλλει νὰ πληρώσῃ ἀμέσως μετὰ παρέλευσιν τοῦ ἔτους ὅσα ὀφείλει νὰ καταβάλλῃ, ὑποχρεοῦται καὶ διὰ τὰ κινητὰ εἰς τόκους, καὶ διὰ τὰ ἀκίνητα εἰς τοὺς καρποὺς ἀπὸ τὸν καιρὸν τῆς διαλύσεως τοῦ γάμου, καὶ εἰς τὰ ἐνοίκια καὶ εἰς τοὺς ναύλους καὶ εἰς πάντα ἄλλον καρπόν.

47. Γνωστὸν ἔστω ὅτι ὅταν ἐπιστρέφηται ἡ προῖξ, εἰ μὲν ἡ κόρη εἶνει αὐτεξουσία, πρὸς αὐτὴν ἀποδίδεται ἡ προῖξ· εἰ δὲ ὑπεξουσία, καὶ ἡ προῖξ ἐδόθη ἀπὸ τὸν πατέρα, γίνεται κοινὴ αὐτῆς καὶ τοῦ πατρός. Ὅταν δὲ πατὴρ προικήσῃ τὴν θυγατέρα του καὶ μετὰ ταῦτα ἡ θυγάτηρ ἢ ἐπειδὴ ἀπέθανεν ὁ ἀνὴρ αὐτῆς ἢ ἔγεινε διαζύγιον θελήσῃ νὰ ἔλθῃ εἰς δεύτερον γάμον, ὁ πατὴρ δὲν δύναται νὰ ἐλαττώσῃ τὴν προῖκα καὶ νὰ δώσῃ εἰς τὴν θυγατέρα ὀλιγώτερον ἀπ' ὅ,τι τῆς ἔδωκεν εἰς τήν προτέραν προῖκα, ἐκτὸς ἐὰν δυστυχία ἐπισυμβᾶσα τὸν στενοχωρήσῃ.

48. Μετὰ θάνατον τῆς θυγατρὸς ἀποδίδεται πρὸς τὸν πατέρα ἡ παρ' αὐτοῦ δοθεῖσα προῖξ.

49. Καὶ οἱ ἀνωτέρω τῶν κέ. ἐτῶν ἐὰν εἰς τὴν δόσιν τῆς προικὸς ἀπατήσωσιν ἀλλήλους, βοηθοῦνται· διότι δὲν συμφωνεῖ μὲ τὸ καλὸν καὶ τὸ δίκαιον νὰ κερδαίνῃ τις ἀπὸ τὴν ζημίαν τοῦ ἄλλου ἢ νὰ ζημιοῦται ἄλλου κερδαίνοντος.

50. Καὶ εἰς τὴν ἐξουσίαν του ἐὰν ἔχῃ ὁ ἀνὴρ τὴν προῖκα, ὅμως εἶναι τῆς γυναικός· ὅθεν ὅταν ἐκδικῆται προικιμαῖος ἀγρὸς ἡ γυνὴ ἐνάγει περὶ ἐκδικήσεως, διότι αὐτὴν ἐνδιαφέρει. Καθόσον ἐὰν

νετ περὶ ἐκδικήσεως· αὐτῇ γὰρ διαφέρει. Ἐὰν γὰρ μὴ ἐκνικήσῃ, παύεται αὐτὸν ἔχειν ἐν προικί· ἐν ὅσῳ δὲ παρὰ τῷ ἀνδρί ἐστιν ἡ γυνὴ, τὸ κέρδος αὐτοῦ ἔχει ὁ ἀνὴρ διὰ τὰ βάρη.

51. Τὸ παλαιὸν προνόμιον, ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς, εἰς κληρονόμους αὐτῶν οὐ διαβαίνει πλὴν παίδων. (Β. IX. 9. 8).

52. Τὸ λεγόμενον ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ ἰδίῳ δικαίῳ μειοῖ τὴν προῖκα, τοῦτο δηλοῖ· ὥστε τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν ἢ μέρος αὐτοῦ, ἕως οὗ λάβοι τὴν δαπάνην· εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη, ὅσου ἦν ἄξιος, παύεται εἶναι προικιματος, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχοι τὰς δαπάνας. Εἰ δὲ ἦσαν σὺν τῷ ἀγρῷ καὶ χρήματα ἐν προικὶ, τὰ χρήματα μειοῦται· καταβαλλούσης δὲ τῆς γυναικὸς τὰς δαπάνας, ὑποστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα· ἐν τῷ μεταξὺ δὲ κεκώλυται ἡ ἐκποίησις αὐτοῦ. (Β. XXIX. 1. 52.)

53. Τότε τὰ ἀναγκαῖα δαπανήματα μειοῦσι τὴν προῖκα, ὅτε ἔξωθεν τῆς ἀναγκαίας φυλακῆς τῆς προικὸς εἰς αὐτὴν δαπανηθῇ· φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπανήμασιν οἰκείοις, ὥσπερ καὶ τὸ τρέφειν τοὺς προικιμαίους δούλους, καὶ μέτρια δαπανᾶν εἰς ἀνανέωσιν καὶ ἐπιμέλειαν τῶν ἀγρῶν· οὐχ ὥστε μέντοι περὶ ταῦτα δαπανῆσαι πᾶσαν τὴν πρόσοδον. Ἐκ τῆς ποιότητος οὖν καὶ τῆς ποσότητος ἑκάστη δαπάνη σκοπεῖται καὶ ὀφείλει τῆς προικὸς ὑπεξαιρεθῆναι. (Β. XXVIII. 10. 15).

54. Ἀναγκαῖα δαπανήματά ἐστιν, ὧν μὴ γενομένων ἡ προῖξ μειοῦται· οἷον χαρακώματα ποιῆσαι, ποταμοὺς ἀποστρέψαι, οἶκον ὑπορθῶσαι καὶ ἀνανεῶσαι, ἀντὶ τῶν ἀποθανόντων δένδρων ὑποβαλεῖν ἕτερα· τὸ εἰσαγαγεῖν θρέμματα πρὸς τὸ κοπρίσαι τὸν ἀγρόν. Πρὸς τέρψιν δέ ἐστι τὸ ποιῆσαι βαλανεῖον.

55. Κἂν γνώμῃ τῆς γυναικὸς γεγόνασι τὰ πρὸς τέρψιν δαπανήματα, οὐκ ἀπαιτοῦνται. (Β. XXVII. 10. 11.)

56. Τότε ὑπεξαιροῦνται τὰ ἐπωφελῆ, ὅτε κατὰ γνώμην γέγωνται τῆς γυναικός· ἄδικον γάρ ἐστι μὴ ἔχουσαν ἑτέρωθεν δοῦ-

δεν ἐκνικήσῃ, παύει νὰ τὸν ἔχῃ εἰς προῖκα· ἐνόσῳ δὲ ἡ γυνὴ συνοικεῖ μὲ τὸν ἄνδρα, τὸ κέρδος τοῦ ἀγροῦ ἔχει ὁ ἀνὴρ διὰ τὰ βάρη.

51. Τὸ παλαιὸν προνόμιον, τὸ ὁποῖον ἔχουσιν αἱ γυναῖκες εἰς τὴν ἀπαίτησιν τῆς προικὸς, δὲν μεταβαίνει εἰς τοὺς κληρονόμους αὐτῶν ἐκτὸς τῶν τέκνων.

52. Τὸ λεγόμενον ὅτι τ' ἀναγκαῖα ἔξοδα ἐλαττόνουσι τὴν προῖκα δικαιωματικῶς, σημαίνει ὅτι ὁ ἀνὴρ παρακρατεῖ τὸν ἀγρὸν ἢ μέρος αὐτοῦ ἐωσότου λάβῃ τὰ ἔξοδα· εἰ δὲ ἐξοδεύθησαν εἰς τὸν ἀγρὸν κατὰ μέρος, ὅσον εἶναι ἡ ἀξία του, παύει νὰ ἦναι προικιματος, ἐὰν ἐντὸς ἔτους δὲν καταβάλῃ τὰ ἔξοδα. Εἰ δὲ μὲ τὸν ἀγρὸν ἡ προῖξ περιεῖχε καὶ χρήματα, ταῦτα ἐλαττοῦνται· ἐὰν δὲ ἡ γυνὴ καταβάλλῃ τὰ ἔξοδα, ἐπιστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα· εἰς δὲ τὸ μεταξὺ ἐμποδίζεται ἡ πώλησις αὐτοῦ.

53. Τότε τὰ ἀναγκαῖα ἔξοδα ἐλαττόνουσι τὴν προῖκα, ὅταν ἐξοδευθῶσιν εἰς αὐτὴν ἐκτὸς τῆς ἀναγκαίας φυλάξεως τῆς προικὸς· διότι ὀφείλει ὁ ἀνὴρ νὰ φυλάττῃ τὴν προῖκα μὲ ἰδιά του ἔξοδα, καθὼς καὶ νὰ τρέφῃ τοὺς προικιμαίους δούλους, καὶ νὰ ἐξοδεύῃ μέτρια εἰς ἀνακαίνισιν καὶ ἐπιμέλειαν τῶν ἀγρῶν, ὄχι ὅμως ὥστε νὰ ἐξοδεύῃ περὶ ταῦτα ὅλον τὸ εἰσόδημα. Ἕκαστον λοιπὸν ἔξοδον ἐξετάζεται ἀπὸ τὴν ποιότητα καὶ ποσότητα καὶ ὀφείλει νὰ ἐκπεσθῇ ἐκ τῆς προικός.

54. Ἀναγκαῖα ἔξοδα εἶναι ἐκεῖνα τὰ ὁποῖα μὴ γινόμενα ἐλαττοῦσι τὴν προῖκα· λ. χ. νὰ κατασκευασθῶσι χαρακώματα, ν' ἀποστραφῶσι ποταμοὶ, νὰ διορθωθῇ καὶ ἀνανεωθῇ οἰκία, νὰ τεθῶσιν ἄλλα δένδρα εἰς τὸν τόπον τῶν πεσόντων· νὰ εἰσαχθῶσι ζῶα πρὸς κόπρισιν τοῦ ἀγροῦ. Πρὸς τέρψιν δὲ εἶναι ἡ κατασκευὴ λουτροῦ.

55. Τὰ πρὸς τέρψιν ἔξοδα καὶ μὲ τὴν γνώμην τῆς γυναικὸς ἂν γείνωσι, δὲν ἀπαιτοῦνται.

56. Τότε ἐξαιροῦνται τὰ ἐπωφελῆ, ὅταν γείνωσι κατὰ γνώμην τῆς γυναικός· διότι εἶναι ἄδικον ἐὰν δὲν ἔχῃ ἄλλοθεν νὰ δώσῃ,

ναι καταναγκασθῆναι πωλῆσαι τὸ πρᾶγμα, περὶ ὃ γέγονεν ἡ δαπάνη. (B. XXVIII. 10. 8.)

ΤΙΤΛ. ΙΑ'. — Περὶ ἐκδικήσεως προικὸς καὶ τῶν βαρῶν αὐτῆς.

1. Συνεστῶτος τοῦ γάμου τῇ μὴ ἀπολλυούσῃ γαμετῇ δύναται ἡ προὶξ ἐκ τούτων καταβάλλεσθαι τῶν αἰτιῶν· οἷον ἵνα ἐκυτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα καταβάλῃ δανεισταῖς αὐτῆς, ἵνα τὸν ἐξόριστον πατέρα θρέψῃ ἢ τὸν ἄνδρα ἢ τοὺς ἀδελφοὺς πενομένους. (B. XXIX. 1. 69).

2. Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν χρεωστεῖ τὴν προῖκα.

3. Ὁ ἀνὴρ ἐπιτρέπων τινὶ δοθῆναι τὴν προῖκα αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι. (B. XXVIII. 8. 22.)

4. Ὁ ἀνὴρ συνεστῶτος τοῦ γάμου μὴ διδότω τῇ γυναικὶ τὴν προῖκα χωρὶς εὐλόγου αἰτίας· τοῦτο γὰρ ποιῶν δοκεῖ δωρεῖσθαι αὐτῇ καὶ ἀπαιτεῖται τὴν προῖκα αὖθις μετὰ καὶ τῶν ἐν μέσῳ καρπῶν. (B. XXVIII. 9. 1.)

5. Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρὸς ἀπαιτουμένη ἣν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς αὐτῶν οὐσίας καταδικάζονται. (B. XXVIII. 8. 17.)

6. Ὁ ἐπερωτηθεὶς τῷ γαμβρῷ αὐτοῦ προῖκα, καὶ ληγάτον εἶναι αὐτὴν τῇ θυγατρὶ αὐτοῦ, οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον· ἀλλ' εἷς μόνος ἀπαιτεῖ, ὃς ἂν συναρέσῃ αὐτοῖς.

7. Δύναται ὁ ἀνὴρ μετὰ τελευτὴν τῆς γυναικὸς ἀπαιτῆσαι τὴν ὁμολογηθεῖσαν αὐτῷ προῖκα, δηλονότι ἐντὸς μόνον ἐτῶν δέκα.

8. Γυνὴ ἐπιζητήσασα ἐν συνεστῶτι τῷ γάμῳ προῖκα καὶ εὑροῦσα διαπεπραμένον κτῆμα παρὰ τοῦ ἀνδρὸς ἀποκατέστη παρὰ τοῦ δικαστοῦ τῷ ἀπεμπωλημένῳ κτήματι, καταδικασθέντος τοῦ

νὰ ἀναγκασθῇ νὰ πωλήσῃ τὸ πρᾶγμα, διὰ τὸ ὁποῖον ἔγεινον τὰ ἔξοδα.

ΤΙΤΛ. ΙΑ'. — Περὶ διεκδικήσεως προικὸς καὶ τῶν βαρῶν αὐτῆς.

1. Συνεστῶτος τοῦ γάμου ἡ προὶξ δύναται νὰ ἐγχειρίζηται εἰς τὴν σύζυγον ἥτις δὲν ἔχασεν αὐτὴν διὰ τὰ ἐξῆς αἴτια· λ. χ. διὰ νὰ θρέψῃ ἐκυτὴν καὶ τοὺς ἰδικούς της, διὰ νὰ ἀγοράσῃ ἀγρὸν ἐπιτήδειον, διὰ νὰ καταβάλῃ εἰς τοὺς δανειστάς της, διὰ νὰ θρέψῃ τὸν ἐξόριστον πατέρα ἢ τὸν ἄνδρα ἢ τοὺς ἀδελφοὺς δυστυχοῦντας.

2. Ὁ ἀνὴρ καὶ ἄπορος ἐὰν ἦναι χρεωστεῖ ὅλην τὴν προῖκα.

3. Ὁ ἀνὴρ ἐπιτρέπων νὰ δοθῇ ἡ προὶξ πρός τινα θεωρεῖται ὅτι τὴν ἔλαβεν αὐτός.

4. Ὁ ἀνὴρ συνεστῶτος τοῦ γάμου δὲν δίδει τὴν προῖκα εἰς τὴν γυναῖκα χωρὶς εὔλογον αἰτίαν· διότι πράττων τοῦτο θεωρεῖται ὅτι τὴν δωρεῖ καὶ τοῦ ζητεῖται πάλιν ἡ προὶξ ὁμοῦ μὲ τοὺς εἰς τὸ μεταξὺ καρπούς.

5. Ἐὰν ὁ πενθερὸς ἀπὸ τὸν γαμβρὸν καὶ ἡ γυνὴ ἀπὸ τὸν ἄνδρα ἀπαιτῶνται τὴν συνομολογηθεῖσαν προῖκα, καταδικάζονται κατὰ τὸ μέτρον τῆς περιουσίας των.

6. Ὁ ὑποσχεθεὶς εἰς τὸν γαμβρὸν αὐτοῦ προῖκα, καὶ νὰ ἦναι αὕτη κληροδότημα εἰς τὴν θυγατέρα του, δὲν ὑποχρεώνει εἰς τοὺς δύο τὸν ἴδιόν του κληρονόμον· ἀλλὰ τὴν ἀπαιτεῖ εἷς μόνος, ὅστις δήποτε συμφωνήσωσι.

7. Μετὰ θάνατον τῆς γυναικὸς δύναται ὁ ἀνὴρ ν' ἀπαιτήσῃ τὴν ὑποσχεθεῖσαν εἰς αὐτὸν προῖκα, ἐντὸς δηλονότι δέκα μόνον ἐτῶν.

8. Γυνὴ συνεστῶτος τοῦ γάμου ἐπιζητήσασα τὴν προῖκα καὶ εὑροῦσα ὅτι ὁ ἀνὴρ ἐπώλησε κτῆμα ἀπεκατέστη παρὰ τοῦ δικαστοῦ εἰς τὸ πωληθὲν κτῆμα, ὁ δὲ ἀγοραστὴς κατεδικάσθη ὄχι

ἀγοραστοῦ, οὐ μόνον εἰς τὴν τοῦ τιμήματος ἔκπτωσιν ἀλλὰ καὶ εἰς τὴν τῆς μειώσεως ἔκτισιν.

9. Τὰ ἐν προικὶ ἐπιδοθέντα οὐ δύναται ἡ γυνὴ διεκδικεῖν· ἐπεὶ τοῦ ἀνδρός ἐστιν ἡ τούτων δεσποτεία. (B. XV. 89. 1.)

10. Ἐὰν ἔχῃ τινὰ ἡ γυνὴ καὶ οὐ δύναται δεῖξαι, πόθεν ἔσχεν αὐτὰ, ταῦτα καὶ χωρὶς ἑτέρας τινὸς ἀποδείξεως ἐκ τοῦ ἀνδρὸς δοκεῖ ἔχειν καὶ τῶν ὑπεξουσίων αὐτοῦ καὶ τοῦ ἀνδρὸς λογίζονται πράγματα.

11. Ὅτι διὰ πέντε αἰτίας μόνον δημεύεται ἡ προὶξ τῆς γυναικὸς, διὰ καθοσίωσιν, διὰ βίαν δημοσίαν, διὰ πατροκτονίαν, διὰ φαρμακείαν καὶ δι' ἀνδροφονίαν. (B. LX. 52. 3.)

12. Εἰ συναρθεῖεν τινὲς ἀλλήλοις ἐπὶ προικὸς καὶ προγαμιαίας δωρεᾶς συμβολαίοις, εἶτα φανῇ παρ' ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προὶξ μὴ ἀποδοθεῖσα τῷ συνοικήσαντι, ἀλλ' ἀνασχόμενος ἐκεῖνος τῶν τοῦ γάμου βαρῶν καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη, οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι τὴν προγαμιαίαν λαβεῖν δωρεάν. Εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη καὶ αὕτη κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεὰν, καθόσον ἐπιδοίη τὴν προῖκα· ἰσότητος γάρ ἐσμεν καὶ δικαιοσύνης ἐρασταὶ καὶ αὐτὴν ἐν ἅπασί τε τοῖς ἄλλοις καὶ πρός γε τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν· ὥστε ἡ μηδοτιοῦν ἐπιδοῦσα μηδοτιοῦν λαμβανέτω.

13. Εἰ δὲ ἡ μὲν δοῦναι βουληθῇ τὴν προῖκα ἢ ὁ ὑπὲρ ταύτης παρεχόμενος αὐτὴν, ὅστις ποτ' ἂν εἴη, ὁ δὲ ἀνὴρ ἢ ὁ τούτου πατὴρ τυχὸν ἢ ὁ πάππος ὑποδέξασθαι αὐτὴν μὴ βουληθῇ, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρεται μέρος, καὶ ἑτοίμως ἔχει ταύτην καταβαλεῖν, ἢ καί τι μεῖζον πράξειε καὶ προσαγάγοι τυχόν· καὶ εἴγε κινητὴ καθειστήκει καὶ σφραγίδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ καὶ κατὰ μίαν μοῖραν εἰσβαλὼν εἰς δικαστήριον ἄξιοῖ ταύτην γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστηρίου τινὲς ἀπήγγειλαν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμένει δὲ καὶ οὗτος ἀναβαλλόμενον, μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου τὴν

μόνον εἰς τὴν ἀπώλειαν τοῦ τιμήματος, ἀλλὰ καὶ εἰς τὴν πληρωμὴν τῆς ἐλαττώσεως.

9. Τὰ δοθέντα εἰς προῖκα δὲν δύναται νὰ διεκδικῇ ἡ γυνή· διότι ἡ κυριότης αὐτῶν εἶναι τοῦ ἀνδρός.

10. Ἐὰν ἔχῃ ἡ γυνὴ πράγματα καὶ δὲν δύναται νὰ δείξῃ πόθεν τὰ ἔλαβε, ταῦτα καὶ χωρὶς ἄλλην ἀπόδειξιν θεωρεῖται ὅτι ἔχει ἀπὸ τὸν ἄνδρα καὶ τοὺς ὑπεξούσιους αὐτοῦ καὶ λογίζονται πράγματα τοῦ ἀνδρός.

11. Διὰ πέντε μόνον αἰτίας δημεύεται ἡ προὶξ τῆς γυναικὸς, διὰ καθοσίωσιν, διὰ βίαν δημοσίαν, διὰ πατροκτονίαν, διὰ φαρμακείαν καὶ δι' ἀνδροφονίαν.

12. Ἐάν τινες συνάψωσι μεταξύ των συμβόλαια περὶ προικὸς καὶ προγαμιαίας δωρεᾶς, ἔπειτα φανῇ ὅτι καθ' ὅλον τὸν καιρὸν τοῦ γάμου δὲν ἐδόθη ἡ προὶξ εἰς τὸν σύζυγον, ἀλλ' ἐκεῖνος ὑπέφερε τὰ βάρη τοῦ γάμου καὶ ὁ γάμος διελύθη διὰ τοῦ θανάτου τοῦ ἀνδρὸς, ποσῶς δὲν δικαιοῦται ἡ γυνὴ μὴ δώσασα προῖκα εἰς τὸν σύζυγον νὰ λάβῃ τὴν προγαμιαίαν δωρεάν. Εἰ δὲ καὶ δὲν ἔδωκεν ὁλόκληρον καὶ αὐτὴ εἰς τόσον ἀπαιτεῖ τὴν δωρεὰν, εἰς ὅσον ἔδωκε προῖκα· διότι ἀγαπῶμεν τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην καὶ ταύτην ἐπιθυμοῦμεν εἰς ὅλα τ' ἄλλα καὶ εἰς τὰ συνοικέσια νὰ ἐπικρατῇ· ὥστε ἡ μὴ δώσασα τίποτε, οὐδὲ λαμβάνει τι.

13. Ἐὰν δὲ αὐτὴ ἢ ὁ ὑποσχεθεὶς δι' αὐτὴν, ὅστις δήποτε κ' ἐὰν ἦναι, θελήσῃ νὰ λάβῃ τὴν προῖκα, ὁ δὲ ἀνὴρ ἢ ὁ πατὴρ αὐτοῦ τυχὸν ἢ ὁ πάππος δὲν θελήσῃ νὰ τὴν παραλάβῃ, οἱ δὲ ἐκ μέρους τῆς γυναικὸς ἐπιβεβαιοῦσι τοῦτο διὰ μαρτύρων, καὶ εἶναι ἕτοιμοι νὰ τὴν καταβάλωσιν ἢ καὶ κάμωσί τι περισσότερον καὶ τὴν προσφέρωσι τυχόν· καὶ ἐὰν τύχῃ κινητὴ καὶ τὴν σφραγίσωσιν καὶ τὴν ἀποθέσωσι κατὰ νόμον, ἢ καὶ μονομερῶς ἐμφανιζόμενοι εἰς δικαστήριον ἀξιοῦσι νὰ γείνῃ τοῦτο, καί τινες διαβάντες ἐκ τοῦ δικαστηρίου ἀνήγγειλον πρὸς τὸ μέρος τοῦ ἀνδρὸς, οὗτος δὲ καὶ μ' ὅλα ταῦτα ἐπιμένει ἀναβάλλων, μετὰ τὴν διάλυσιν τοῦ γάμου δὲν δύναται ν' ἀποφύγῃ τὴν ἀπόδοσιν τῆς προγαμιαίας

τῆς προγαμικίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν, ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης· ὁ γὰρ δοῦναι βουληθεὶς ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλήσιός ἐστι τῷ δεδωκότι.

14. Ἐὰν ὁ πατὴρ κατὰ φιλοτιμίαν ἐπιδῷ ἑνὶ τῶν παίδων εἰς χρῆσιν ἢ εἰς προῖκα πράγματα τῆς γυναικὸς αὐτοῦ, ἐκδικοῦσιν αὐτὰ οἱ ἕτεροι, καὶ μειοῦται ἡ προῖξ, ὅτι τὰ μητρῷα οἱ παῖδες ἐπίσης μερίζονται. (Β. XXIX. 1. 30.)

15. Τὴν προῖκα μὴ εἰσενεγκαμένην μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ τῆς προγαμιαίας δωρεᾶς· καὶ ὁ μὴ τὴν διὰ γάμον ἐπιδοὺς δωρεὰν ἀνὴρ οὐ λαμβάνει τι ἐκ τῆς οὐσίας τῆς γυναικός· εἰ μὴ ἡ συνοικοῦσα δωρήσασθαί τι ἢ καταλεῖψαι βουληθείη.

16. Ἐὰν γυνὴ ἄπροικος ἅμα τῷ ἀνδρὶ αὐτῆς ὑπόσχηται τῷ υἱῷ ἢ τῇ θυγατρὶ προῖκα καὶ παράσχωσιν, εἶτα τελευτῶντος τοῦ ἀνδρὸς ἐν ἀπορίᾳ, μηδὲν κερδάνῃ ἡ γυνὴ ἐξ αὐτοῦ, δύναται κινεῖν κατὰ τοῦ υἱοῦ ἢ τῆς θυγατρὸς εἰς τὸ λαβεῖν καὶ αὕτη μοῖραν παιδός· ἡ γὰρ γυνὴ ἄπροικος οὖσα, ἐὰν τελευτήσῃ ὁ ἀνὴρ ταύτης ἐν ἀπορίᾳ καταλείψας παῖδας, τοσοῦτον λαμβάνει ἐκ τῆς ἀνδρῴας περιουσίας, ὅσον εἷς τῶν παίδων ἔλαβεν.

17. Ὅτι ἐὰν πατὴρ προικίσῃ τὴν ἰδίαν θυγατέρα, εἶτα καταναλώσας τὴν ἰδίαν ὕπαρξιν ἐν ἀπορίᾳ τελευτήσῃ καὶ περιλειφθῇ ἡ γυνὴ αὐτοῦ χρεωστουμένη, δικαιοῦται αὕτη καὶ νικᾷ τὴν θυγατέρα εἰς τὸ δοθὲν αὐτῇ παρὰ τοῦ πατρὸς καὶ οὐ βλάπτεται ἡ μήτηρ ὡς εἰδυῖα τὴν δόσιν· ἐπὶ γὰρ μόνοις τοῖς παρ' αὐτῆς δοθεῖσι τῇ θυγατρὶ ἤγουν τοῖς μητρῴοις ἥττᾶται.

18. Ὅτι διηνεκής ἐστιν ἡ τῆς προικὸς ἀπαίτησις καὶ χρόνῳ οὐ περικλείεται. Καὶ εἰκότως· ἐπειδὴ ἡ τῆς προικὸς ἀπαίτησις μείζων ἐστὶ τῆς ὑποθηκαρίας ἀγωγῆς, ἥτις τῇ τεσσαρακονταετίᾳ μόνῃ σβέννυται.

18 Β'. Ὅτι οὐ χρόνῳ περικλείεται γυνὴ ἀπαιτοῦσα τὸ παρὰ τοῦ ἀνδρὸς πραθὲν κτῆμα αὐτῆς.

19. Τὰ τῆς προγάμου δωρεᾶς καὶ τὰ τῆς προικὸς πράγματα

δωρεᾶς, ὡς μὴ παραδοθείσης τῆς προικός· διότι ὁ θελήσας νὰ δώσῃ ὅπου ὁ ἀξιούμενος νὰ λάβῃ παραιτεῖται τὴν λῆψιν, ὁμοιάζει μὲ δώσαντα.

14. Ἐὰν ὁ πατὴρ κατὰ φιλοδωρίαν δώσῃ εἰς ἕν τῶν τέκνων πράγματα τῆς γυναικός του πρὸς χρῆσιν ἢ εἰς προῖκα, τ' ἄλλα τέκνα διεκδικοῦσιν αὐτὰ, καὶ ἐλαττοῦται ἡ προῖξ, διότι τὰ τέκνα ἐξίσου μοιράζουσι τὰ μητρικά.

15. Γυνὴ ἥτις δὲν συνεισέφερε τὴν προῖκα, δὲν δύναται μὲ τὴν προγαμιαίαν δωρεὰν νὰ οἰκειοποιῆται τὰ πράγματα τοῦ ἀνδρός· καὶ ὁ ἀνὴρ ὁ μὴ δώσας τὴν προγαμιαίαν δωρεὰν δὲν λαμβάνει τι ἀπὸ τὴν περιουσίαν τῆς γυναικὸς, ἐκτὸς ἐὰν ἡ σύζυγός του θελήσῃ νὰ τοῦ δωρήσῃ τι ἢ νὰ τοῦ ἀφήσῃ.

16. Ἐὰν γυνὴ ἄπροικος ὑποσχεθῇ μὲ τὸν ἄνδρα της εἰς υἱὸν ἢ θυγατέρα προῖκα καὶ τὴν δώσωσιν, ἔπειτα ἀποθάνῃ ὁ ἀνὴρ ἄπορος καὶ δὲν κερδήσῃ ἀπὸ αὐτὸν ἡ γυνὴ τίποτε, δύναται νὰ ἐνάξῃ τὸν υἱὸν ἢ τὴν θυγατέρα διὰ νὰ λάβῃ καὶ αὐτὴ μερίδιον τέκνου· διότι ἡ ἄπροικος γυνὴ, ἐὰν ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς ἄπορος καὶ ἀφήσῃ τέκνα, λαμβάνει ἐκ τῆς περιουσίας τοῦ ἀνδρὸς τόσον, ὅσον ἔλαβεν ἓν τῶν τέκνων.

17. Ἐὰν πατὴρ προικίσῃ τὴν ἰδίαν του θυγατέρα, ἔπειτα κατεξοδεύσας τὴν περιουσίαν του ἀποθάνῃ ἄπορος καὶ μείνῃ ἡ γυνὴ αὐτοῦ ὑπόχρεος, δικαιοῦται αὕτη καὶ νικᾷ τὴν θυγατέρα εἰς ὅ,τι ὁ πατὴρ τῆς ἔδωκε καὶ δὲν βλάπτεται ἡ μήτηρ ὡς εἰξεύρουσα τὴν δόσιν· διότι εἰς μόνα ὅσα αὐτὴ ἔδωκεν εἰς τὴν θυγατέρα ἤγουν εἰς τὰ μητρικὰ νικᾶται.

18. Ἡ ἀπαίτησις τῆς προικὸς εἶναι διηνεκὴς καὶ δὲν περικλείεται εἰς χρόνον. Καὶ εὐλόγως· διότι ἡ ἀπαίτησις τῆς προικὸς εἶναι ἐπικρατεστέρα ἀπὸ τὴν ἐνυπόθηκον ἀγωγὴν, ἥτις μετὰ τεσσαράκοντα μόνον ἔτη σβύνεται.

18 Β'. Γυνὴ ἀπαιτοῦσα τὸ παρὰ τοῦ ἀνδρὸς πωληθὲν κτῆμα αὐτῆς δὲν περικλείεται εἰς χρόνον.

19. Τὰ πράγματα τῆς προγαμιαίας δωρεᾶς καὶ τῆς προικὸς

οὐδὲ συναινούσης τῆς γυναικὸς ἐκποιεῖται· εἰ μὴ δευτέραν ποιήσηται συναίνεσιν αὐτοῖς ἡ γυνὴ μετὰ διετίαν, ἔνθα μέντοιγε δυνατόν ἐστι τὸ ἱκανὸν αὐτῇ γενέσθαι ἐξ ἑτέρων πραγμάτων· ὁ γὰρ παρὰ τὴν ῥηθεῖσαν παρατήρησιν ἀγοράζων τὰ τοιαῦτα πράγματα τὴν γυναῖκα οὐ προκριματίζει, ἀλλ' ὑπόκειται αὐτῇ. (*)

20. Δύο προικῶν ὑπό τινος χρεωστουμένων, τὰ μὲν ἐξ αὐτῶν φαινόμενα πράγματα ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἀπὸ τοῦ αὐτοῦ γάμου· εἰς δὲ τὰ μὴ φαινόμενα ἔχει προγενεσίαν ἡ πρώτη προῖξ, ἀπαιτουμένη ὑπό τε τῆς γυναικὸς καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς ἑκατέρας φύσεως.

21. Ἐπηγγείλατό τις τῇ θυγατρὶ προῖκα δοῦναι καὶ οὐκ ἔδωκεν· εἶτα ἔλαβεν ἐκεῖνος γυναῖκα καὶ ἐδέξατο προῖκα καὶ ἀπέθανε καὶ ἐζητεῖτο ποία προτιμηθήσεται ; ἡ πρώτη ἐπαγγελία τῆς προικὸς τῆς θυγατρὸς ἢ ἡ δευτέρα καταβολή, ἣν ἡ γυνὴ πρὸς αὐτὸν κατεβάλετο ; καὶ ἐδικαίωσαν οἱ δικασταὶ καὶ ὁ Μάγιστρος τὴν δευτέραν καταβολήν· εἰ γὰρ τοὺς προγενεστέρους δανειστὰς ἡ προῖξ νικᾷ, πολλῷ μᾶλλον περιέσται τῆς ἐπαγγελίας.

ΤΙΤΛ. ΙΒ'. — Περὶ ἐξωπροίκων.

1. Τὰ ἐξώπροικα οὐ γίνονται τοῦ ἀνδρὸς, εἰ μὴ ἐπὶ τούτῳ δοθῶσιν αὐτῷ· καὶ λυομένου τοῦ γάμου κατὰ νόμους οὐκ ἀπαιτοῦνται, καὶ οὐ διὰ τῆς ἐπὶ προικὶ ἀγωγῆς. (Β. XXIX. 1. 5).

2. Ἐὰν τὰ ἐξώπροικα τῆς γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ, εἰ μὲν δωρησαμένης ἐκείνης, οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ, εἰ μὴ μόνον εἰς ὃ γέγονε πλουσιώτερος· εἰ δὲ παρὰ γνώμην αὐτῆς, τέλεια πάντα τὰ ἐξώπροικα ἀναγκάζεται ἀποκαταστῆσαι, ἐπειδὴ ἔχει καὶ ἐπὶ τούτοις ὑποθήκην ἡ γυνὴ, ὥσπερ ἐπὶ τῇ προικί.

(*) Μὴ ὑπολάβῃς, ὅτι ὁ χρόνος τῆς διετίας εἶναι ἄλογος· διότι εἰσήχθη κατὰ παράδειγμα τῆς ἀναργυρίας· ὥστε καθὼς εἰς αὐτὴν ἡ παρέλευσις τῆς διετίας κυρόνει τὴν ἀπ' ἀρχῆς ἀνυπόστατον ἀγωγὴν, οὕτω καὶ εἰς

οὐδὲ μὲ τὴν συγκατάθεσιν τῆς γυναικὸς ἐκποιοῦνται· ἐκτὸς ἐὰν μετὰ διετίαν συναινέσῃ καὶ πάλιν ἡ γυνὴ, ὅπου ὅμως εἶναι δυνατὸν νὰ ἱκανοποιηθῇ αὕτη δι' ἄλλων πραγμάτων· διότι ὁ ἀγοράζων τὰ τοιαῦτα πράγματα παρὰ τὴν ῥηθεῖσαν διατύπωσιν δὲν βλάπτει τὴν γυναῖκα, ἀλλ' ἐνέχεται πρὸς αὐτήν.

20. Ἐάν τις χρεωστῇ δύο προῖκας, τὰ μὲν φανερὰ αὐτῶν πράγματα διεκδικοῦσι τὰ γεννηθέντα ἀπὸ αὐτὸν τὸν γάμον τέκνα· εἰς δὲ τὰ ἀφανῆ ἔχει προτεραιότητα ἡ πρώτη προῖξ, ἐὰν ἀπαιτῆται ἀπὸ τὴν γυναῖκα καὶ ἀπὸ τοὺς κατιόντας αὐτῆς ἀρσενικοὺς ἢ καὶ θηλυκούς.

21. Ὑπεσχέθη τις νὰ δώσῃ εἰς τὴν θυγατέρα προῖκα καὶ δὲν ἔδωκεν· ἔπειτα ἐνυμφεύθη ἐκεῖνος καὶ ἔλαβε προῖκα καὶ ἀπέθανε καὶ ἐζητεῖτο ποία θὰ προτιμηθῇ ; ἡ πρώτη ὑπόσχεσις τῆς προικὸς τῆς θυγατρὸς ἢ ἡ δευτέρα καταβολή ; καὶ ἐδικαίωσαν οἱ δικασταὶ καὶ ὁ Μάγιστρος τὴν δευτέραν καταβολήν· διότι ἐὰν ἡ προῖξ νικᾷ τοὺς προγενεστέρους δανειστὰς, πολὺ περισσότερον ὑπερτερεῖ τῆς ὑποσχέσεως.

ΤΙΤΛ. ΙΒ'. — Περὶ ἐξωπροίκων.

1. Τὰ ἐξώπροικα δὲν γίνονται τοῦ ἀνδρὸς, ἐκτὸς ἐὰν δοθῶσιν ἐπίτηδες· καὶ μετὰ τὴν διάλυσιν τοῦ γάμου κατὰ νόμους δὲν ἀπαιτοῦνται, καὶ οὐχὶ διὰ τῆς περὶ προικὸς ἀγωγῆς.

2. Ἐὰν ὁ ἀνὴρ ἐξοδεύσῃ τὰ ἐξώπροικα τῆς γυναικὸς, εἰ μὲν κατὰ δωρεὰν αὐτῆς, δὲν ἐνάγεται ὁ κληρονόμος του, εἰ μὴ καθ' ὅσον ἔγεινε πλουσιώτερος· εἰ δὲ παρὰ τὴν θέλησιν αὐτῆς, ἀναγκάζεται ν' ἀποδώσῃ ἐξ ὁλοκλήρου τὰ ἐξώπροικα, διότι ἡ γυνὴ ἔχει καὶ εἰς ταῦτα, καθὼς καὶ εἰς τὴν προῖκα, ὑποθήκην.

τὸ παρὸν, ἐὰν ἡ γυνὴ ἦναι ἐνήλικος· διότι ἐὰν ἦναι ἀνήλικος, βοηθεῖται καὶ μετὰ τὴν διετίαν.

3. Πᾶσα γυνὴ ἐν τοῖς ἐξωπροίκοις καὶ τοῖς ληγάτοις χωρὶς τῆς προικὸς δύναται καὶ συναλλάσσειν καὶ χαρίζειν καὶ δωρεῖσθαι· καὶ ἔρρωται πάντα. (Β. XXIX. 5. 38.)

4. Ἐπὶ μὲν τῇ προικὶ ὁ ἀνὴρ μέχρις εὐπορίας, ὡς εἴρηται, κακαδικάζεται· οὐ γὰρ ἀρίεται πένεσθαι ὁ ποτὲ κύριος τῆς γυναικὸς χρηματίσας· ἐπὶ δὲ τοῖς ἐξωπροίκοις εἰς τὸ πᾶν καταδικάζεται.

5. Τὰ ἐξώπροικα τῆς γυναικὸς οὐχ' ὑπόκειται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις, ἀλλ' οὐδὲ αἱ μητέρες ὑπὲρ τούτων ἐνάγονται. Οὐδὲ ὁ ἀνὴρ ὑπὲρ τῶν τῆς γυναικὸς συναλλαγμάτων οὐδὲ ὁ πατὴρ ὑπὲρ τῶν τοῦ υἱοῦ λειτουργιῶν ἢ συναλλαγμάτων ἢ υἱὸς ὑπὲρ τῶν τοῦ πατρὸς ἢ ἀπελεύθερος ὑπὲρ τῶν τοῦ πάτρωνος. (Β. XXIV. 4. 3.)

ΤΙΤΛ. ΙΓ'. — Περὶ ὑποβόλου.

1. Ὑπόβολον καλοῦσι τὸ ἐπὶ τῇ ποσότητι τῆς προικὸς, ὅταν ἀποθανούσης τῆς γυναικὸς ἡ προὶξ ἀπαιτῆται, παρὰ τοῦ ἀνδρὸς ταύτῃ ὑποβαλλόμενον ἤγουν ὑποτιθέμενον καὶ ὑποκάτω τῆς εἰς πλέον ποσὸν ἀναβιβαζομένης προικὸς, ὡς ὀλιγώτερον παρὰ ταύτην τιθέμενον. Τὸ γὰρ ὑποβάλλειν μετὰ τῶν ἄλλων δηλοῖ καὶ τὸ τιθέναι ὑπό τινι ἰσχυροτέρῳ καὶ πλείονι ἄλλο τι καὶ ἀσθενέστερον καὶ βραχύτερον· ἐκ τούτου γοῦν καὶ τὸ τῆς προικὸς ὑπόβολον ὀνομάζεται. Ὅταν γοῦν γένηται γάμος καὶ συμφωνίαν τὰ δύο μέρη περὶ ὑποβόλου ποιήσωσιν, ἵνα εἰς τὴν ἀπόδοσιν τῆς προικὸς προστεθῇ καὶ τόσον ὑπόβολον, κατὰ τὴν συμφωνίαν ἀποδίδοται τὸ ὑπόβολον. Ὅταν δὲ ἀφήσωσι τοῦτο καὶ οὐδὲν περὶ αὐτοῦ συμφωνήσωσι, ἀπαιτεῖται ὁ τὴν προῖκα ἀποδιδοὺς, ἐπιδιδόναι καὶ χάριν ὑποβόλου καὶ τρίτον τῆς ποσότητος ὅλης, εἰς ἣν ἡ προὶξ περιίσταται· οἷον ἐὰν μία λίτρα ὑπάρχῃ ἡ προὶξ, τὸ τρίτον τῆς λίτρας, ὅπερ ἐστὶν νομ. κδ'. Καὶ τοῦτο μὲν παρὰ τοῖς νέοις ἕως ἄρτι κρατεῖ, παρὰ δὲ τοῖς παλαιοῖς τὸ ὑπόβολον ἕως τοῦ ἡμίσεως τῆς προικὸς ἐψηφίζετο. Εἰ

3. Πᾶσα γυνὴ εἰς τὰ ἐξώπροικα καὶ τὰ κληροδοτήματα ἐκτὸς τῆς προικὸς δύναται καὶ νὰ συναλλάσσεται καὶ νὰ χαρίζῃ καὶ νὰ δωρῇ· καὶ πάντα ἰσχύουσι.

4. Ὁ ἀνὴρ καταδικάζεται διὰ τὴν προῖκα, ὡς ἐλέχθη, μέχρις εὐπορίας· διότι δὲν ἐπιτρέπεται νὰ πένεται ὁ χρηματίσας ποτὲ κύριος τῆς γυναικός· εἰς δὲ τὰ ἐξώπροικα καταδικάζεται διὰ τὸ ὅλον.

5. Τὰ ἐξώπροικα τῆς γυναικὸς δὲν ὑπόκεινται εἰς τὰς ὑπηρεσίας τοῦ ἀνδρὸς, ἀλλ' οὐδὲ αἱ μητέρες ἐνάγονται περὶ αὐτῶν. Οὐδὲ ὁ ἀνὴρ διὰ τὰ συναλλάγματα τῆς γυναικὸς οὐδὲ ὁ πατὴρ διὰ τὰς ὑπηρεσίας τοῦ υἱοῦ ἢ τὰ συναλλάγματα ἢ ὁ υἱὸς διὰ τὰ τοῦ πατρὸς ἢ ἀπελεύθερος διὰ τὰ τοῦ πάτρωνος.

ΤΙΤΛ. ΙΓ'. — Περὶ ὑποβόλου.

1. Ὑπόβολον ὀνομάζουσιν, ὅταν ἀποθανούσης τῆς γυναικὸς ἀπαιτῆται ἡ προὶξ, τὸ ὑποβαλλόμενον παρὰ τοῦ ἀνδρὸς εἰς τῆς προικὸς τὴν ποσότητα, ἤγουν ὑποτιθέμενον καὶ ὑποκάτω τῆς εἰς περισσότερον ποσὸν ἀνερχομένης προικὸς, ὡς ὀλιγώτερον ἀπὸ ταύτην τιθέμενον. Διότι τὸ ὑποβάλλω πρὸς τὰ ἄλλα σημαίνει καὶ τὸ θέτω ὑπὸ δυνατώτερόν τι καὶ πλειότερον ἄλλο τι καὶ ἀδυνατώτερον καὶ ὀλιγώτερον· ἐκ τούτου λοιπὸν ὀνομάζεται καὶ τὸ ὑπόβολον τῆς προικός. Ὅταν λοιπὸν γείνῃ γάμος καὶ τὰ δύο μέρη συμφωνήσωσι περὶ ὑποβόλου, ἵνα προστεθῇ εἰς τὴν ἀπόδοσιν τῆς προικὸς καὶ τόσον ὑπόβολον, τὸ ὑπόβολον ἀποδίδεται κατὰ τὴν συμφωνίαν. Ὅταν δὲ ἀφήσωσι τοῦτο καὶ δὲν συμφωνήσωσι τίποτε περὶ αὐτοῦ, ὁ ἀποδίδων τὴν προῖκα ἀπαιτεῖται νὰ προσθέσῃ κατὰ λόγον ὑποβόλου καὶ τρίτον τῆς ὅλης ποσότητος, εἰς ὅσην συμποσοῦται ἡ προὶξ· λ. χ. ἐὰν ἡ προὶξ ὑπάρχῃ μία λίτρα, τὸ τρίτον τῆς λίτρας, τὸ ὁποῖον εἶναι νομίσματα κδ'. Καὶ τοῦτο μὲν ἐπικρατεῖ εἰς τοὺς μεταγενεστέρους ἕως τὴν σήμερον, εἰς δὲ τοὺς παλαιοὺς τὸ ὑπόβολον ἐλογίζετο ἕως τὸ ἥμισυ τῆς προικός. Ἐὰν

δὲ ἀποθάνῃ πρὸ τοῦ ἀνδρὸς ἡ γυνὴ, οὐκ ἔχει χώραν ἡ τοῦ ὑποβόλου ἀπαίτησις.

2. Ὅτι τὸ ὑπόβολον οὐ μετὰ τὸν γάμον αὐτίκα κυροῦται, ἀλλὰ δεῖ τὸν ἄνδρα θανάτῳ προαπελθεῖν τῆς γυναικὸς καὶ οὕτω τοῦτο λαβεῖν ὑπόστασιν.

3. Ἡ παρθένος ἔχει τὸ θεώρητρον διὰ τὴν τιμὴν τῆς παρθενίας· ἡ δὲ χήρα οὐκ ἔχει αὐτὸ, ἀλλὰ τὸ συμφωνηθὲν ὑπόβολον καὶ τὸν ἀῤῥαβῶνα.

4. Τῆς γυναικὸς πρὸ τοῦ ἀνδρὸς τελευτησάσης, οὐκ ἔχει χώραν ἡ τοῦ ὑποβόλου ἀπαίτησις, ἀλλὰ μόνον τὸ θεώρητρον δίδοται παρθένῳ οὔσῃ· ταῖς γὰρ δευτερογαμούσαις οὐ δίδοται. Ἔστι δὲ τὸ θεώρητρον ἐπὶ ἑκάστῃ λίτρα τῆς προικὸς νομ. ξξ.

5. Ἐπειδήπερ ἅπαξ κρατεῖν ἔδοξε μὴ ἐξίσου τὰς ἐν τῇ συστάσει τῶν γάμων γίνεσθαι συντελείας, ἀλλ' εἶναι τοῦ ὑποβόλου ἐπὶ πλέον τὴν προῖκα, τοῦτο ἔστω πολιτευόμενον θανάτου φέροντος λύσιν τῷ γάμῳ· εἰ μὲν ὁ ἀνὴρ ἄτεκνος ἀπίοι καὶ σύμῤῥωνον μὴ παρῇ, ἀνακομιζέτω ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑπόβολον, καὶ μηδὲν ἔτι πλέον· εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσῃ, τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν, τῷ ἀνδρὶ δὲ μὴ γινέσθω τῶν ἰδίων ἡ στέρησις, μηδὲ τὰ ἐκείνου ἕτεροι, ἀλλ' αὐτὸς ἐχέτω. Πῶς γὰρ οὐκ ἄτοπον τοὺς μὲν ἀλλοτρίους ἐκ τῶν ἐκείνου πραγμάτων κερδαίνειν, αὐτὸν δὲ πρὸς τῇ ἀποστερήσει τῆς συζύγου καὶ τῶν οἰκείων ἤτοι τοῦ ὑποβόλου στερεῖσθαι ;

6. Ταύτην οὖν τὴν συνήθειαν ἐπειδήπερ οὐ λυπηρὰν ὁρῶμεν τοῖς πράγμασιν ὥσπερ καὶ ἐπ' ἄλλων ἐδικαιώσαμεν, νόμου τιμῶμεν ἀξιώματι, καὶ ἔστω γε ἀπὸ τοῦ νῦν νόμου ἰσχὺν, ἀλλ' οὐ συνηθείας κεκτημένη. Εἰ μέντοιγε ἐν μόνῳ τῷ ὑποβόλῳ ἡ τοῦ ἀνδρὸς ἀριθμεῖται ὑπόστασις, μετὰ τῶν παίδων τούτου πάντως συναπολήψεται δεσποτείαν, τοῦ δ' ἄλλου τὴν χρῆσιν ἕξει· εἰ δὲ μὴ ἐξαρκεῖ πρὸς σύστασιν τοῦ ὑποβόλου ἡ περιουσία, τὴν μοῖραν ἡ γυνὴ λήψεται, οὐ κατὰ τὴν εὑρισκομένην τοῦ μειωθέντος ὑποβόλου ποσότητα, ἀλλὰ τοσοῦτον ἔχουσα, ὅσον ἂν ἔσχεν, εἰ μηδὲν ἐλαττού-

δὲ ἀποθάνῃ πρὸ τοῦ ἀνδρὸς ἡ γυνὴ, δὲν ἔχει χώραν ἡ ἀπαίτησις τοῦ ὑποβόλου.

2. Τὸ ὑπόβολον δὲν κυροῦται εὐθὺς μετὰ τὸν θάνατον, ἀλλ' ἀνάγκη ν' ἀποθάνῃ ὁ ἀνὴρ πρὸ τῆς γυναικὸς καὶ οὕτω νὰ λάβῃ τοῦτο ὑπόστασιν.

3. Ἡ παρθένος ἔχει τὸ θεώρητρον διὰ τὴν τιμὴν τῆς παρθενίας· ἡ δὲ χήρα δὲν ἔχει αὐτὸ, ἀλλὰ τὸ συμφωνηθὲν ὑπόβολον καὶ τὸν ἀῤῥαβῶνα.

4. Ἐὰν ἡ γυνὴ ἀποθάνῃ πρὸ τοῦ ἀνδρὸς, ἡ ἀπαίτησις τοῦ ὑποβόλου δὲν ἔχει χώραν, ἀλλὰ μόνον τὸ θεώρητρον δίδεται ἂν ἦτον παρθένος· διότι εἰς τὰς δευτεροϋπάνδρους δὲν δίδεται. Τὸ δὲ θεώρητρον εἶναι εἰς ἑκάστην λίτραν προικὸς νομίσματα ξξ.

5. Ἐπειδὴ ἅπαξ ἐπεκράτησεν ὥστε αἱ συνεισφοραὶ πρὸς σύστασιν γάμου νὰ μὴ γίνωνται ἐξίσου, ἀλλ' ἡ προῖξ νὰ ἦναι περισσοτέρα τοῦ ὑποβόλου, τοῦτο ὀφείλει νὰ ἰσχύῃ ὅταν ὁ θάνατος διαλύῃ τὸν γάμον· καὶ εἰ μὲν ὁ ἀνὴρ ἀποθνήσκει ἄτεκνος καὶ συμφωνία δὲν ὑπάρχει, ἀναλαμβάνει ἡ γυνὴ τὴν προῖκα καὶ τὸ ὑπόβολον, καὶ τίποτε περιπλέον· εἰ δὲ ἀποθάνῃ ἡ γυνὴ, οἱ κληρονόμοι της ἀναλαμβάνουσι τὴν προῖκα, ὁ δὲ ἀνὴρ δὲν στερεῖται τὰ ἰδικά του, μηδὲ ἄλλοι λαμβάνουσι τὰ πράγματά του, ἀλλὰ αὐτὸς τὰ ἔχει. Διότι πῶς δὲν εἶναι ἄτοπον οἱ μὲν ἐξωτικοὶ νὰ κερδαίνωσι τὰ πράγματα αὐτοῦ, οὗτος δὲ ἐκτὸς τῆς στερήσεως τῆς συζύγου νὰ στερῆται καὶ τὰ πράγματά του ἤτοι τὸ ὑπόβολον ;

6. Ἐπειδὴ λοιπὸν βλέπομεν ὅτι ἡ συνήθεια αὕτη δὲν εἶναι λυπηρὰ εἰς τὰ πράγματα τῶν ἀποθανόντων καθὼς καὶ εἰς ἄλλα ἐδικαιώσαμεν, τιμῶμεν αὐτὴν μὲ ἀξίαν νόμου, καὶ ἀπὸ σήμερον ἔχει νόμου καὶ ὄχι συνηθείας ἰσχύν. Καὶ εἰ ἡ μὲν περιουσία τοῦ ἀνδρὸς συνίσταται εἰς μόνον τὸ ὑπόβολον, μὲ τὰ τέκνα αὐτοῦ συναπολαύει ἐξάπαντος τὴν κυριότητα, τοῦ δὲ ἐπιλοίπου ἔχει τὴν χρῆσιν· εἰ δὲ δὲν ἐξαρκεῖ πρὸς ἀπαρτισμὸν τοῦ ὑποβόλου, λαμβάνει ἡ γυνὴ τὸ μέρος ὄχι κατὰ τὴν εὑρισκομένην τοῦ ἐλαττωθέντος

μενον, ἀλλὰ πλῆρες καὶ τὸ ὑπόβολον ἐγνωρίζετο· ταύτης οὖν διδομένης τῇ γυναικὶ μερίδος, τὰ παραλειπόμενα ἔστω τῶν παίδων· εἰ δὲ μηδὲν ὑπολίποιτο, ὡς κλῆρον τὴν ἀκληρίαν ἀποίσονται. Ἀλλὰ ταῦτα μὲν περὶ γυναικός· ἀνὴρ δὲ ἅπαις μὲν ὤν, καθάπερ ἐν ἄλλοις διατέτακται, οὐδὲν οὔτε λήψεται οὔτε ζημιωθήσεται· παίδων δὲ πατὴρ γεγονὼς καὶ μὴ δευτέροις γάμοις τὸν πρὸς τὴν γυναῖκα πόθον μαράνας καὶ αὐτὸς λήψεται μοῖραν παιδὸς τεκνοτροφίας τε ἕνεκεν καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρῶτον γάμον αἰδοῦς καὶ τιμῆς.

7. Ταύτην δὲ τὴν μοῖραν ἐν λογισμῷ ὁ ἀνὴρ ὑποβαλλέσθω, κἂν μὲν φαίνοιτο ἐπ' ἴσον φθάνουσα τῷ ὑποβόλῳ ἡ ὑπερεκτεινομένη, ἐξαρκεῖσθαι ἐπὶ ταύτῃ τὸν λαμβάνοντα διὰ τὸ πάντως ἢ κερδαίνειν ἢ μηδεμίαν ζημίαν ὑφίστασθαι· εἰ δ' οὐκ ἐξικνεῖται ἡ μοῖρα, ἀλλ' ἐνδεῖ τοῦ ὑποβόλου, μήτε τῶν οἰκείων ὁ ἀνὴρ διδότω, μήτε τῶν τῆς γυναικὸς ὑπάρξεων λαμβανέτω.

ΤΙΤΛ. ΙΔ'. — Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός.

1. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔρρωται δωρεὰ διὰ τὸν ἔρωτα, καὶ διὰ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν ἐκ τοῦ μὴ δωρεῖσθαι καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον. (Β. XXX. 1. 1.)

2. Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί. (Β. XXX. 1. 3).

3. Γαμετῇ μὲν δωρεῖσθαι κεκώλυται· παλλακῇ δὲ δωρεῖσθαι οὐ κεκώλυται. (XLVII. 1. 30.)

4. Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τῇ γυναικὶ τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται ἡ δωρεὰ καὶ παρ' οὐδενὸς ἀνατρέπεται. (Β. XXX. 1. 32.)

5. Τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς δωρούμενα διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας ἔρρωται μέχρι τοῦ προχωροῦντος ποσοῦ.

ὑποβόλου ποσότητα, ἀλλὰ καθ' ὅσον θὰ ἐλάμβανεν ἂν δὲν ἐλαττοῦτο ποσῶς, ἀλλὰ διεσώζετο πλῆρες καὶ τὸ ὑπόβολον· ἐὰν λοιπὸν δίδεται εἰς τὴν γυναῖκα τὸ μερίδιον τοῦτο, τὰ ὑπόλοιπα εἶναι τῶν τέκνων· ἐὰν δὲ δὲν ἀπομένῃ τίποτε, φέρουσιν ὡς κλῆρον τὴν ἀκληρίαν. Ἀλλὰ ταῦτα μὲν περὶ γυναικός· ἐὰν δὲ ὁ ἀνὴρ εἶναι ἄτεκνος, ὡς ἀλλαχοῦ διετάχθη, οὔτε λαμβάνει οὔτε ζημιοῦται τίποτε· ἐὰν δὲ ἔγεινε πατὴρ τέκνων καὶ τὸν πόθον πρὸς τὴν γυναῖκα δὲν ἐμάρανε μὲ δεύτερον γάμον καὶ αὐτὸς λαμβάνει τέκνου μερίδιον διὰ τεκνοτροφίαν καὶ διὰ τὸ σέβας καὶ τὴν τιμὴν τὰ ὁποῖα διεφύλαξε πρὸς τὸν πρῶτον γάμον.

7. Τὸ δὲ μερίδιον τοῦτο ὑποβάλλει ὁ ἀνὴρ εἰς σκέψιν, καὶ ἐὰν μὲν φαίνεται ὅτι εἶναι ἴσον μὲ τὸ ὑπόβολον ἢ μεγαλείτερον, ὁ λαμβάνων ἐξαρκεῖται εἰς τοῦτο καθόσον ἢ κερδαίνει ἀναμφιβόλως ἢ ποσῶς δὲν ζημιοῦται· ἐὰν δὲ τὸ μερίδιον δὲν ἐξαρκεῖ, ἀλλὰ ὑπολείπεται τοῦ ὑποβόλου, μήτε ἀπὸ τὰ ἰδικά του δίδει ὁ ἀνὴρ, μήτε ἀπὸ τῆς γυναικὸς τὰ ὑπάρχοντα λαμβάνει.

ΤΙΤΛ. ΙΔ'. — Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός.

1. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς δωρεὰ δὲν ἰσχύει διὰ λόγον ἀγάπης, καὶ διὰ νὰ μὴ ἔχωσι πρόφασιν διαζυγίου ὡς μὴ δωρούμενοι καὶ διὰ νὰ μὴ γείνῃ ὁ μὲν εὔπορος ἄπορος, ὁ δὲ ἄπορος εὔπορος.

2. Αἱ δωρεαὶ εἶναι ἀνίσχυροι ὄχι μόνον εἰς τοὺς συνεστῶτας γάμους, ἀλλὰ καὶ εἰς τοὺς ἀπηγορευμένους.

3. Ἡ πρὸς τὸν σύζυγον δωρεὰ ἐμποδίζεται· δὲν ἐμποδίζεται ὅμως ἡ πρὸς τὴν παλλακὴν δωρεά.

4. Ἐὰν ὁ ἀνὴρ δωρήσας εἰς τὴν γυναῖκα ἀποθάνῃ χωρὶς νὰ μετακινήσῃ τὴν δωρεὰν, ἡ δωρεὰ κυροῦται καὶ δὲν ἀνατρέπεται ἀπὸ κανένα.

5. Τὰ παρὰ τῆς γυναικὸς πρὸς τὸν ἄνδρα δωρούμενα διὰ νὰ τύχῃ ἀξίωμα ἰσχύουσι μέχρι τῆς παραχωρηθείσης ποσότητος.

6. Ἐὰν γυνὴ ἐν συνισταμένῳ τῷ γάμῳ δωρήσηται τῇ ἰδίᾳ θυγατρὶ, ἔῤῥωται ἡ δωρεά. (Β. XXX. 1. 82).

1. Ἐπίτροπος εἶναι δικαίωμα καὶ ἐξουσία διδομένη εἰς ἐλευθέραν κεφαλὴν καὶ πρὸς ἀσφάλειαν αὐτῆς ἐπινοουμένη ἢ διὰ τὴν ἀτέλειαν τῆς ἡλικίας ἢ ἐπιβαλλομένη διὰ τὴν ἀπειρίαν τῆς διοικήσεως τῶν πραγμάτων.

2. Ὁ ἐξ ἀναζητήσεως τῶν δικαστῶν δοθεὶς ἐπίτροπος ἢ κηδεμὼν εἴθισται νὰ ἐρευνᾶται, ἐὰν ἦναι εὔπορος, ἐὰν ἦναι σώφρων τὸν βίον, ἐὰν ἔχῃ ἐνέχυρα ζωῆς, τουτέστι τέκνα· διότι ὁ ἔχων τέκνα εἰξεύρει, πῶς πρέπει νὰ προσφέρηται εἰς τὰ ὀρφανὰ, ὡς διδόμενος εἰς τόπον πατρὸς, καὶ ἐὰν ἔχῃ στοργὴν πρὸς τὴν πατρίδα του.

3. Ὁ ἐπίτροπος ἢ παρὰ τοῦ δικαστοῦ δίδεται τότε, ὅταν ἀποθάνωσιν οἱ γονεῖς καὶ ἀφήσωσιν ἀνήλικα τέκνα καὶ δὲν διορίσωσιν ἐπιτρόπους αὐτῶν, καὶ λέγεται ὁ ἀπὸ τὸν δικαστὴν διδόμενος, ὡς ἐδηλώθη, νόμιμος ἐπίτροπος, τουτέστι παρὰ τοῦ νόμου δοθεὶς ἤτοι τῶν κατὰ τοὺς νόμους δικαζόντων δικαστῶν. Ὁ ἐπίτροπος λοιπὸν δίδεται ὑπὸ τοῦ δικαστοῦ ἢ ὑπὸ τοῦ πατρὸς ἢ τῆς μητρός· ἀλλ' ὁ μὲν πατὴρ ὡς κυρίως ἐξουσιαστὴς τῶν γνησίων τέκνων ὑπάρχων δύναται καὶ κληρονόμους καὶ ἀποκλήρους γράφων τὰ τέκνα νὰ καθιστᾷ ἐπιτρόπους αὐτῶν· ἡ δὲ μήτηρ ὅταν ἀφίνῃ κληρονομίαν εἰς τὰ τέκνα, τότε μόνον ἔχει ἄδειαν νὰ ἀφίνῃ καὶ ἐπιτρόπους αὐτῶν, ἀλλ' οὐδὲ τότε ἁπλῶς, ἐὰν ὁ δικαστὴς δὲν ἐξετάσῃ καὶ ἐγκρίνῃ τοῦτο.

4. Καὶ ζῶντος τοῦ ἀνδρὸς καλῶς ἡ μήτηρ ἀφίνει ἐπίτροπον εἰς τὸ κοινὸν τέκνον.

5. Κωφὸς καὶ ἄλαλος δὲν ἐπιτροπεύει.

6. Ἡ ἐπιτροπὴ δίδεται εἰς πρόσωπον καὶ ὄχι εἰς πρᾶγμα.

7. Ἡ ἐπιτροπὴ δὲν παραπέμπεται εἰς τοὺς κληρονόμους.

ἐὰν ὑπάρχωσιν, ἢ ἀπὸ τὸν ταμίαν δίδεται κηδεμὼν εἰς τοὺς ὀρφανούς. Ἡ δὲ ἐπιτροπὴ ἡ ἔχουσα μόνον τῶν ψυχικῶν διαμοίρασιν καὶ ἐλευθερίαν καὶ κληροδοσίας, αὕτη καὶ εἰς κληρονόμους παραπέμπεται, διὰ νὰ ἐκπληρώσωσιν οὗτοι τὰ δέοντα.

8. Δήλῳ πράγματι ἡ αἰτία ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται, οὔτε ὑπεξῃρημένων πραγμάτων· ἀλλ' εἰ καὶ οὕτω δοθῇ, πᾶσα ἡ δόσις ἀκυροῦται· προσώπῳ γὰρ καὶ οὐ πράγματι ἡ αἰτία δίδοται ὁ ἐπίτροπος (*). (Β. XXXII. 2. 11—13.)

9. Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι οἱ δεννδεύειν ἤτοι ἐκδικεῖν ἑαυτοὺς διὰ τὴν ἡλικίαν μὴ δυνάμενοι.

10. Ἐὰν ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ὁ ὀρφανὸς, ἀναγκάζεται αἰτεῖν ἑαυτῷ κουράτωρα. (Β. XXXVII. 1. 3.)

11. Καὶ τῷ ἀλάλῳ δίδοται ἐπίτροπος.

12. Τῷ υἱῷ τοῦ αἰχμαλώτου ἐπίτροπος οὐ δίδοται, ἀλλὰ τῇ οὐσίᾳ κουράτωρ· ὑποστρέφοντος γὰρ τοῦ πατρὸς, γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς εἰ μηδέποτε ἠχμαλωτίσθη.

13. Καὶ τῷ ἔχοντι ἐπίτροπον νοσοῦντα ἢ γέροντα δίδοται κουράτωρ ἢ ἐξ αἰτήσεως δηλαδὴ τοῦ ἐπιτρόπου ἢ ἐξ αἰτήσεως τοῦ ἀνήβου, ὅστις κουράτωρ διοικητὴς πραγμάτων ἐστὶ μᾶλλον· καὶ ὁ λεγόμενος βοηθὸς κινδύνῳ τῶν ἐπιτρόπων διὰ τοῦ ἄρχοντος προχειρίζεται. (Β. XXXVII. 1. 10.)

14. Ἰστέον ὅτι ὁ ἐπίτροπος ἀνήβοις μόνον δίδοται, οὐδαμῶς δὲ καὶ ἐφήβοις· ὁ δὲ κουράτωρ ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἐφήβοις, ἔστι δέ ποτε καὶ ἀνήβοις.

15. Δίδοται κουράτωρ καὶ καθολικῶς χωρίς τινος προσδιορισμοῦ καὶ ἰδικῶς ἐπί τινι ὑποθέσει· ὡς ὅταν ἀνήλιξ ἐνάγων ἢ ἐναγόμενος κουράτωρα λάβῃ τινὰ ἐπὶ τῷ ἀντιλαβέσθαι καὶ βοη-

(*) Τὸ κεφάλαιον τοῦτο οὕτως ἡρμήνευσεν ὁ Μάγιστρος. Πάντες οἱ περὶ ἐπιτρόπων νόμοι, περὶ τῶν διδομένων εἰς ἀνήβους ἐπιτρόπων λέγουσιν· καὶ δὲν ὑπάρχει οὐδὲ εἷς καὶ μόνον νόμος μὴ διαλαμβάνων καὶ περὶ ἀνήβου· καὶ ὅταν ἦναι καὶ ὑπάκηται ἄνηβος, δὲν δύναται νὰ δοθῇ ἐπ' αὐτὸν ἐπίτροπος εἰς αἰτίαν· καθὼς ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ υἱοῦ μου, διὰ νὰ τὸν διδάξῃ μόνον γράμματα· οὐδὲ διὰ ταύτην ἢ ἐκείνην τὴν δίκην ἢ τὸ δίκαιον πρᾶγμα· καθὼς ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ υἱοῦ μου εἰς κινητὰ ἢ ἀκίνητα πράγματα· διότι ταῦτα γινόμενα δὲν ἰσχύουσιν, ὅταν ὑπάκηται

8. Εἰς πρόδηλον πρᾶγμα ἡ αἰτίαν ἐπίτροπος διὰ διαθήκης δὲν δίδεται οὔτε ἐὰν ἐξαιρῶνται τὰ πράγματα· ἀλλὰ καὶ ἐὰν δοθῇ οὕτω, πᾶσα ἡ δόσις ἀκυροῦται· διότι ὁ ἐπίτροπος εἰς πρόσωπον καὶ ὄχι εἰς πρᾶγμα ἡ αἰτίαν δίδεται.

9. Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον ἐλεύθεροι ὅσοι δὲν δύνανται διὰ τὴν ἡλικίαν νὰ ὑπερασπίζωνται ἑαυτούς.

10. Ἐὰν ὁ ὀρφανὸς ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ἀναγκάζεται νὰ αἰτῇ ὑπὲρ ἑαυτοῦ κηδεμόνα.

11. Ἐπίτροπος δίδεται καὶ εἰς τὸν ἄλαλον.

12. Ἐπίτροπος δὲν δίδεται εἰς τὸν υἱὸν τοῦ αἰχμαλώτου, ἀλλὰ κηδεμὼν διὰ τὴν περιουσίαν· διότι ὑποστρέφοντος τοῦ πατρὸς, γίνεται ὑπεξούσιος αὐτοῦ, ὡς εἰ μηδέποτε ἠχμαλωτίσθη.

13. Καὶ εἰς τὸν ἔχοντα ἐπίτροπον ἀσθενῆ ἢ γέροντα δίδεται κηδεμὼν ἢ κατ' αἴτησιν τοῦ ἐπιτρόπου ἢ κατ' αἴτησιν τοῦ ἀνήβου, ὅστις κηδεμὼν εἶναι μᾶλλον διοικητὴς πραγμάτων· καὶ ὁ λεγόμενος βοηθὸς εἰς κίνδυνον τῶν ἐπιτρόπων διὰ τοῦ δικαστοῦ προχειρίζεται.

14. Γνωστὸν ἔστω ὅτι ὁ ἐπίτροπος δίδεται μόνον εἰς ἀνήβους, ποσῶς δὲ καὶ εἰς ἐφήβους· ὁ δὲ κηδεμὼν ὡς ἐπὶ τὸ πλεῖστον μὲν εἰς ἐφήβους, ἐνίοτε δὲ καὶ εἰς ἀνήβους.

15. Δίδεται κηδεμὼν καὶ γενικῶς χωρίς τινα προσδιορισμὸν καὶ εἰδικῶς διά τινα ὑπόθεσιν· καθὼς ὅταν ἀνήλικος ἐνάγων ἢ ἐναγόμενος λάβῃ τινὰ κηδεμόνα διὰ νὰ τὸν συνεργήσῃ καὶ βοη-

ἄνηβος· ὡς τῆς ἐπιτροπῆς διδομένης εἰς πρόσωπον καὶ ὄχι εἰς πρᾶγμα. Εἰς τὸν ἄνηβον παρ. χ. δίδεται ἐπίτροπος, διὰ νὰ διοικῇ καλῶς ὅλα τὰ πράγματα τούτου, εἰς δὲ τὰ πράγματα δὲν δίδεται ἐπιτροπὴ, ὥστε νὰ ἔχῃ ἐξουσίαν ταύτην μὲν νὰ διοικῇ, περὶ δὲ τοῦ ἀνήβου αὐτοῦ νὰ μὴ φροντίζῃ. Ὅπου δὲ ἄνηβος εἰς τὴν διαθήκην δὲν ὑπάρχει, οἱ διδόμενοι ἐπίτροποι εἴτε μερικοὶ εἶναι εἴτε γενικοὶ, διοικοῦσι, καθὼς προσταχθῶσι· διότι πρόσωπον εἰς τοῦτο δὲν ὑπόκειται, διὰ νὰ ἰσχύῃ ὁ νόμος, ὁ λέγων· εἰς πρόσωπον καὶ ὄχι εἰς πρᾶγμα δίδεται ἡ ἐπιτροπή.

θῆσαι αὐτῷ εἰς τὸ δικαστήριον καὶ ὥσπερ ἀντ' αὐτοῦ κριθῆναι μετὰ τοῦ ἀντιδίκου.

16. Ὁ ἔπαρχος καὶ ὁ ἄρχων καὶ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς ἐπαρχίας διοίκησιν, ἕως τοῦ ἄρχοντος ἀποθανόντος, ἐπιτρόπους δύνανται διδόναι. (Β. XXXVII. 5. 1).

17. Οἱ στρατηγοὶ πάντες ἐπιτρόπους διδόασιν, ἀλλὰ μόνον τοὺς ὄντας ἐκ τῶν πόλεων αὐτῶν ἢ τῶν ὑπ' αὐτὰς ἀγρῶν.

18. Ὅπου ἡ κληρονομία ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, πλὴν γυναικός. (Β. Η. 3. 73).

19. Προτιμῶνται τῶν θηλειῶν οἱ ἄρρενες πρὸς τὰς ἐπιτροπὰς τελείας ἡλικίας ὑπάρχοντες, εἰ μὴ ἄρα μήτηρ ἢ μάμμη πρόκειται· αὗται γὰρ προσκαλοῦνται εἰς τὸ ἐπιτροπεύειν προτιμώμεναι παντὸς ἐπιτροπεύειν ὀφείλοντος, ἐξῃρημένων μόνων τῶν κατὰ διαθήκην ἐκθέντων. Ὁ πλησιέστερος αὐτῶν συγγενὴς ἐπιτροπεύει· εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, ὁμοῦ πάντες ἐπιτροπεύουσιν.

20. Ἄδεια ἔσται ταῖς μητράσιν ἐπιτροπεύειν τῶν παίδων, σὺν ἀκριβείᾳ δὲ καὶ αὐτὰς ποιεῖν ἀπογραφὴν, παρόντος καὶ σκέβα ᾧ ἡ ἐπὶ τούτων φροντὶς ἐπιτέτραπται.

21. Ὅτι ἡ ἀπογραφὴ τῶν πραγμάτων τοῦ τελευτήσαντος παρὰ τοῦ ἐπιτρόπου ἢ τοῦ κληρονόμου εἴσω τριῶν μηνῶν μετὰ τὴν τελευτὴν ὀφείλει γίνεσθαι.

22. Ὅτι οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ οὐ συγχωροῦνται κατά τινα τρόπον ἐπίτροποι ἢ κουράτωρες γίνεσθαι.

23. Ἡ δὲ λδ'. Νεαρὰ τοῦ κυροῦ Λέοντος καὶ ἐπιτροπεύειν τοὺς μοναχοὺς καὶ κληρικοὺς φησὶν, ἀπείργεσθαι δὲ οἰκονομίας καὶ προστασίας ὀρφανῶν· φησὶ γὰρ τοὺς θεοφιλεστάτους ἐπισκόπους ἢ μοναχοὺς ἐπιτρόπους ὀρφανικῶν πραγμάτων καὶ ἐξεταστὰς ἢ κουράτωρας οἱουδήποτε προσώπου δι' ἑαυτῶν γίνεσθαι οὐ συγχωροῦμεν· ἐπιτροπεύειν δὲ τῶν ὑπὲρ ψυχῆς ὀφειλόντων δίδοσθαι καὶ διοικεῖν προσκαλουμένους οὐ κωλύομεν· καὶ γὰρ τοῖς ἀρχιερεῦσι μᾶλλον ὑπὲρ τῶν πλημμελημάτων ἱλασμὸς ἀριέρωται.

θήσῃ εἰς τὸ δικαστήριον καὶ ὡς νὰ κριθῇ ἀντ' αὐτοῦ μετὰ τοῦ ἀντιδίκου.

16. Ὁ ἔπαρχος καὶ ὁ δικαστὴς καὶ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς διοίκησιν ἐπαρχίας, διὰ τυχὸν θάνατον τοῦ δικαστοῦ, δύνανται νὰ δίδωσιν ἐπιτρόπους.

17. Πάντες οἱ προεστῶτες δίδουσιν ἐπιτρόπους, ἀλλὰ μόνους τοὺς ὄντας ἐκ τῶν πόλεων αὐτῶν ἢ τῶν ὑπ' αὐτὰς τόπων.

18. Ὅπου ἡ κληρονομία ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, ἐκτὸς γυναικός.

19. Οἱ ἀρσενικοὶ ἐνήλικοι προτιμῶνται ἀπὸ τὰς θηλείας εἰς τὰς ἐπιτροπὰς, ἐκτὸς ἐὰν ὑπάρχῃ μήτηρ ἢ μάμμη· διότι αὗται καλοῦνται εἰς τὴν ἐπιτροπείαν προτιμώμεναι παντὸς ὀφείλοντος νὰ ἐπιτροπεύῃ, ἐξαιρέσει μόνον τῶν ἀφεθέντων διὰ διαθήκης· Ὁ πλησιέστερος αὐτῶν συγγενὴς ἐπιτροπεύει· εἰ δὲ πολλοὶ ἔχουσι τὸν αὐτὸν βαθμὸν, ὅλοι ὁμοῦ ἐπιτροπεύουσιν.

20. Ἔχουσιν ἄδειαν αἱ μητέρες νὰ ἐπιτροπεύωσι τὰ τέκνα, καὶ αὐταὶ δὲ νὰ κάμωσιν ἀπογραφὴν μὲ ἀκρίβειαν, παρόντος καὶ γραφέως ἐπιτετραμμένου τὴν ἐπὶ τούτων φροντίδα.

21. Ἡ ἀπογραφὴ τῶν πραγμάτων τοῦ ἀποθανόντος παρὰ τοῦ ἐπιτρόπου ἢ τοῦ κληρονόμου ὀφείλει νὰ γίνεται ἐντὸς τριῶν μηνῶν μετὰ τὸν θάνατον.

22. Οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ δὲν συγχωροῦνται κατ' οὐδένα τρόπον νὰ γίνωνται ἐπίτροποι ἢ κηδεμόνες.

23. Ἡ δὲ λδ'. νεαρὰ τοῦ κυροῦ Λέοντος λέγει ὅτι καὶ οἱ μοναχοὶ καὶ κληρικοὶ ἐπιτροπεύουσιν, ἐμποδίζονται ὅμως ἀπὸ τὴν διοίκησιν καὶ προστασίαν τῶν ὀρφανῶν· διότι λέγει ὅτι δὲν συγχωροῦμεν οἱ θεοφιλέστατοι ἐπίσκοποι ἢ μοναχοὶ νὰ γίνωνται ἀφ' ἑαυτῶν ἐπίτροποι ὀρφανικῶν πραγμάτων καὶ ἐξεταστὰὶ ἢ κηδεμόνες οἱουδήποτε προσώπου· δὲν ἐμποδίζομεν ὅμως προσκαλουμένοι νὰ ἐπιτροπεύωσιν εἰς ὅσα ὀφείλουσι νὰ δίδωνται ὑπὲρ ψυχῆς καὶ νὰ διοικῶσι ταῦτα· διότι εἰς τοὺς ἀρχιερεῖς μᾶλλον ἀριερώθη ἡ ἐξιλέωσις ὑπὲρ τῶν πλημμελημάτων.

23 α'. Ὅτι ἐκ συνηθείας ἐπὶ τετραετίαν ἔχουσιν ἀνάγκην οἱ ἐπίτροποι παρακατέχειν τὰ πράγματα τοῦ τελευτήσαντος διὰ τὰς ἴσως ἀναφυομένας ἐνοχάς. (Β. XXXVII. 5. 36.)

23 β'. Δοῦλος ἐπίτροπος ἢ κουράτωρ οὐ δύναται δοθῆναι.

24. Οἱ ἀγαθοὶ τρόποι ἀξιοπιστότεροί εἰσι πρὸς ἐπιτροπὴν καὶ οὐσίας καὶ ἀξιώματος. (Β. XXXVII. 5. 20.)

25. Ἄδηλος ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται.

26. Ὁ ἔνοπλον στρατείαν στρατευόμενος οὐδὲ ἐπίτροπος οὐδὲ κουράτωρ δύναται δοθῆναι. (Β. XXXVII. 5. 33.)

27. Ἐπίτροπός ἐστιν ὁ διδόμενος ἀνηβοις παισὶ καὶ διοικεῖ τὰ ἐκείνων, ἄχρις οὗ ἐπιβῶσι τῆς ἐφηβότητος· κουράτωρ δὲ ὁ διδόμενος ἀφήλιξι καὶ πένησι διοικῶν τὴν περιουσίαν αὐτῶν ἕως οὗ πληρώσωσι τὸν εἰκοστὸν πέμπτον ἐνιαυτόν.

28. Κωφὸς καὶ ἄλαλος ἐπίτροπος οὐ δύναται δοθῆναι.

29. Κουράτωρα πατὴρ οὐ δύναται καταλιπεῖν τοῖς ἑαυτοῦ παισίν. (Β. XVII. 2. 6.)

30. Ὁ προκουράτωρ μὴ ἔστω ἥττων τῶν ιζ'. ἐτῶν.

31. Οἱ λόγοι τοῦ κουράτωρος πρὸ τοῦ κέ. ἔτους τοῦ ἀφήλικος οὐκ ἀπαιτοῦνται, ἐφ' ὅσον ἦν κουράτωρ.

32. Ἐπίτροπος ἢ κουράτωρ, εἰ μή ἐστιν κέ. ἐτῶν ὁ ἐπιτροπευθείς, οὐχ ὑιοθετεῖται αὐτόν. (Β. XXXIII 1. 13).

33. Ἡ διάταξις κελεύει πάντας τοὺς ἐπιτρόπους μείζονας εἶναι τῶν κέ. ἐτῶν. (Β. XXXVII. 4 9.)

34. Ἐὰν κουράτωρ ὁμολογήσῃ ρ'. νομ. ὑπὲρ προικὸς τῆς κουρατωρευομένης, καὶ χρέους ἀναφανέντος εὑρεθῇ μὴ ἔχουσα ταῦτα ἡ οὐσία, οὐ βοηθεῖται. (Β. XXXVII. 7. 42.)

35. Εἴ τις ὑπεύθυνον ἔχει τὸν νέον ἢ τὰ πράγματα αὐτοῦ, τοῦτον μηδὲ παριέναι παντελῶς εἰς τὴν αὐτοῦ κηδεμονίαν καὶ εἰ παρὰ τῶν νόμων καλοῖτο· τί γὰρ ἂν οὐ πράξειεν ὑπὲρ ἑαυτοῦ κύριος αὐτοῦ τε ὢν καὶ τῶν τοῦ ἀντιδίκου πραγμάτων γινόμενος; διὰ ταῦτα γὰρ κἀκεῖνο νομοθετοῦμεν, ὥστε εἰ προφανέστατα δῆλός ἐστιν ὁ γινόμενος κηδεμὼν αὐτὸς ὑπεύθυνος ὢν τοῖς τοῦ νέου

23α. Κατὰ συνήθειαν οἱ ἐπίτροποι ἐπὶ τέσσαρα ἔτη ἔχουσιν ἀνάγκην νὰ κρατῶσι τὰ πράγματα τοῦ ἀποθανόντος διὰ τὰς ἴσως ἀναφυομένας ἐνοχάς.

23β. Δοῦλος ἐπίτροπος ἢ κηδεμὼν δὲν δύναται νὰ δοθῇ.

24. Οἱ καλοὶ τρόποι εἶναι ἀξιοπιστότεροι πρὸς ἐπιτροπὴν καὶ ἀπὸ περιουσίαν καὶ ἀξίωμα.

25. Ἄδηλος ἐπίτροπος εἰς διαθήκην δὲν δίδεται.

26. Ὁ ἐκστρατεύων ἐνόπλως οὐδὲ ἐπίτροπος οὐδὲ κηδεμὼν δύναται νὰ δοθῇ.

27. Ἐπίτροπος εἶναι ὁ διδόμενος εἰς ἀνήβα τέκνα καὶ διοικεῖ τὰ πράγματα αὐτῶν, ἄχρις οὗ ρθάσωσι τὴν ἐφηβότητα· κηδεμὼν δὲ ὁ διδόμενος εἰς ἀνηλίκους καὶ ἐφήβους διοικῶν τὴν περιουσίαν αὐτῶν ἕως οὗ συμπληρώσωσι τὸ εἰκοστὸν πέμπτον ἔτος.

28. Κωφὸς καὶ ἄλαλος δὲν δύναται νὰ δοθῇ ἐπίτροπος.

29. Κηδεμόνα ὁ πατὴρ δὲν δύναται ν' ἀφήσῃ εἰς τὰ τέκνα του.

30. Ὁ νεώτερος τῶν ιζ'. ἐτῶν δὲν γίνεται φροντιστής.

31. Ἡ λογοδοσία τοῦ κηδεμόνος, ἐφ' ὅσον ἦτο κηδεμὼν, δὲν ἀπαιτεῖται πρὸ τοῦ κέ. ἔτους τοῦ ἀνηλίκου.

32. Ὁ ἐπίτροπος ἢ ὁ κηδεμὼν, ἐὰν ὁ ἐπιτροπευθεὶς δὲν εἶναι κέ. ἐτῶν, δὲν υἱοθετεῖ αὐτόν.

33. Ἡ διάταξις προστάζει ὅτι πάντες οἱ ἐπίτροποι νὰ ἦναι μεγαλείτεροι τῶν κέ. ἐτῶν.

34. Ἐὰν κηδεμὼν ὑποσχεθῇ ρ'. νομίσματα εἰς προῖκα τῆς κηδεμονευομένης, καὶ χρέους ἀναφανέντος εὑρεθῇ ὅτι ἡ περιουσία δὲν ἔχει ταῦτα, δὲν βοηθεῖται.

35. Ἐάν τις ἔχῃ ὑπεύθυνον τὸν ἀνήλικον ἢ τὰ πράγματά του, οὗτος δὲν ἀναλαμβάνει ποσῶς τὴν κηδεμονίαν τοῦ ἀνηλίκου καὶ ἐὰν καλῆται ἀπὸ τοὺς νόμους· διότι τί δὲν θὰ πράξῃ ὑπὲρ ἑαυτοῦ ὁ ἔχων εἰς τὴν ἐξουσίαν του καὶ τὸν ἀντίδικον καὶ τὰ πράγματά του; διὰ ταῦτα καὶ ταῦτο νομοθετοῦμεν, ὥστε ἐὰν προδήλως φαίνεται ὅτι ὁ γενόμενος κηδεμὼν εἶναι ὑπεύθυνος εἰς τὰ δι-

δικαίοις, οὐδὲ ἐκεῖνος κηδεμὼν ἔσται, μήποτε ἡ γραμματεῖον κλέψειεν ἢ ἄλλας ἀποδείξεις οὔσας ἀφανίσειε τῷ νέῳ καὶ ἡ κηδεμονία γένοιτο τούτῳ τῶν οἰκείων τούτῳ πραγμάτων ὄλεθρος.

36. Ὁ ἐπίτροπος οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι· τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων κουράτωρος καὶ προκουράτωρος.

37. Ὁ ἐκ διαθήκης ἐαθεὶς ἐπίτροπος ἐξκουσατεύων ἑαυτὸν ἐκπίπτει τῶν ληγατευθέντων τῷ υἱῷ αὐτοῦ, ἐὰν πρὸς τιμὴν αὐτοῦ καὶ οὐ σχέσιν τοῦ υἱοῦ κατελείφθησαν. (B. XXXVII. 2. 26.)

38. Θεσπίζομεν μηδεμίαν ἀνάγκην ἐκ νόμου καθεστάναι τοῖς κηδεμόσι, τὰ τῶν νέων χρήματα δανείζειν, ἀλλ' ἀσφαλῶς ἀποτίθεσθαι καὶ φυλάττειν αὐτοῖς κάλλιον ὂν τὴν ἐπὶ τοῖς ἀρχαίοις αὐτοῖς ἀσφάλειαν μένειν ἢ τῇ τῶν τόκων ἐφέσει καὶ τῶν ἀρχαίων ἐκπεσεῖν καὶ κινδυνεύειν μὲν τὸν κηδεμόνα, εἰ μὴ δανείσῃ, αὖθις δὲ εἰ δανείσῃ, κινδυνεύειν ἀποτυχίας ἴσως ἐπὶ τοῖς χρέεσι γινομένης. Εἰ μέντοι ὁ κηδεμὼν ἑκὼν δανεῖσαι βουληθείη, ἐχέτω τὸ τῶν δύο μηνῶν καθ' ἕκαστον ἔτος ἐνδόσιμον· ἴστω δὲ τὸν τοῦ δανείσματος κίνδυνον ἐφ' ἑαυτὸν πάντα ἐλευσόμενον.

39. Ἐὰν ἐπίτροπος οἰκείῳ ὀνόματι δανείσῃ τὰ ὀρφανικὰ χρήματα, τόκους οὓς ἔλαβεν ἀναγκάζεται παρασχεῖν, ἐὰν καὶ τῶν λοιπῶν πραγμάτων ὁ ἄνηβος ἐπιγινώσκῃ τὸν κίνδυνον.

40. Εἴτε οἰκείῳ ὀνόματι εἴτε τοῦ ἀνήβου δανείσῃ ὁ ἐπίτροπος τὰ ὀρφανικὰ χρήματα τῆς ἀγωγῆς τῆς κατὰ τῶν ἐπιτρόπων κινουμένης ἐπιλογὴ δίδοται τῷ νέῳ ἢ πάντα καταδέξασθαι τὰ γραμματεῖα ἢ πάντων ἀποστῆναι. (B. XXXVII. 7. 15.)

41. Οἱ ἐπίτροποι ἐξ μῆνας ἔχουσιν ἐν τῷ πρώτῳ ἐνιαυτῷ προθεσμίαν εἰς τὸ δανεῖσαι τὰ χρήματα τῶν ὀρφανῶν· τὸ δὲ εἰρημένον περὶ τῶν δύο μηνῶν νόησον περὶ ἑκάστου τῆς κηδεμονίας.

42. Ὁ ἐπίτροπος καὶ ὁ φροντιστὴς καταβάλλοντες οὐκ ἀναλαμβάνουσιν, εἴτε οἴκοθεν εἴτε τοῦ ἀνήβου εἴτε τοῦ δεσπότου καταβάλλουσιν. (B. XXIV. 6. 6.)

καιώματα τοῦ νέου, μηδὲ κηδεμὼν οὗτος νὰ γίνηται, μήπως ἡ ἔγγραφον κλέψῃ ἢ ἄλλας ἀποδείξεις τοῦ νέου ἀφανίσῃ καὶ ἡ κηδεμονία γείνῃ ὄλεθρος τῶν πραγμάτων αὐτοῦ.

36. Ὁ ἐπίτροπος δὲν δύναται νὰ ἀγοράσῃ ὀρφανικὸν πρᾶγμα· τὸ αὐτὸ καὶ εἰς τοὺς ὁμοίους κηδεμόνα καὶ φροντιστήν.

37. Ὁ διὰ διαθήκης ἀρεθεὶς ἐπίτροπος παραιτούμενος γίνεται ἔκπτωτος τῶν πρὸν τὸν υἱόν του κληροδοτηθέντων, ἐὰν ἀρέθησαν πρὸς τιμὴν αὐτοῦ καὶ ὄχι ἀπὸ ἀγάπην πρὸς τὸν υἱόν του.

38. Διατάττομεν νὰ μὴ ἀναγκάζωνται ποσῶς ἀπὸ τὸν νόμον οἱ κηδεμόνες νὰ δανείζωσι τὰ χρήματα τῶν ἀνηλίκων, ἀλλὰ νὰ τὰ ἀποθέτωσιν ἀσφαλῶς καὶ νὰ τὰ φυλάττωσι δι' αὐτοὺς διότι εἶναι καλλίτερον νὰ διατηρῶνται ἀσφαλῆ τὰ κεφάλαια παρὰ ἕνεκα τῶν τόκων νὰ χάνωσι καὶ τὰ κεφάλαια καὶ νὰ κινδυνεύῃ μὲν ὁ κηδεμών, ἐὰν δὲν δανείσῃ, πάλιν δὲ ἐὰν δανείσῃ νὰ κινδυνεύῃ διὰ ἐπισυμβᾶσαν εἰς τὰ δανεισθέντα ἀποτυχίαν. Ἐὰν ὅμως ὁ κηδεμὼν θελήσῃ νὰ δανείσῃ ἑκουσίως, ἔχει καθ' ἕκαστον ἔτος τὸ πρῶτον τῶν δύο μηνῶν· ὀφείλει δὲ νὰ γνωρίζῃ ὅτι πᾶς κίνδυνος τοῦ δανείσματος ἀνάγεται εἰς αὐτόν.

39. Ἐὰν ὁ ἐπίτροπος εἰς ἰδιόν του ὄνομα δανείσῃ τὰ ὀρφανικὰ χρήματα, ἀναγκάζεται ν' ἀποδώσῃ ὅσους τόκους ἔλαβεν, ἐὰν καὶ τῶν λοιπῶν πραγμάτων ὁ ἄνηβος ὑπορέρῃ τὴν ζημίαν.

40. Εἴτε εἰς ἰδιόν του ὄνομα εἴτε τοῦ ἀνήβου δανείσῃ ὁ ἐπίτροπος τὰ ὀρφανικὰ χρήματα τῆς ἀγωγῆς τῆς κινουμένης κατὰ τῶν ἐπιτρόπων ὁ νέος ἔχει ἐπιλογὴν ἢ ν' ἀποδεχθῇ ὅλα τὰ ἔγγραφα ἢ ν' ἀπέχῃ ἀπὸ ὅλα.

41. Οἱ ἐπίτροποι ἔχουσι τὸ πρῶτον ἔτος ἓξ μῆνας προθεσμίαν διὰ νὰ δανείσωσι τὰ χρήματα τῶν ὀρφανῶν· τὸ δὲ προλεχθὲν περὶ τῶν δύο μηνῶν νόησον περὶ ἑκάστου ἔτους τῆς κηδεμονίας.

42. Ὁ ἐπίτροπος καὶ ὁ φροντιστὴς καταβάλλοντες δὲν ἀναλαμβάνουσιν, εἴτε ἐξ ἰδίων εἴτε τοῦ ἀνηλίκου εἴτε τοῦ κυρίου καταβάλλουσιν.

43. Ἡ κατὰ τῶν ἐπιτρόπων ἀγωγὴ καὶ κληρονόμοις καὶ κατὰ κληρονόμων ἁρμόζει. (Β. XXXVIII. 4 37.)

44. Τὰ ἀκίνητα τοῦ νέου κἂν πράσιμα ἦσαν παρὰ τῷ πατρὶ αὐτοῦ, οὐκ ἐκποιεῖται, εἰ μὴ ῥητῶς ὁ πατὴρ ἐν διαθήκῃ ἢ κωδικέλλοις τὴν ἐκποίησιν ἐπέτρεψεν ἢ χρέος εἴη ὑποκείμενον, καὶ τότε ψήφῳ τοῦ πραίτωρος.

45. Ἡ διάταξις κελεύει μηδὲν πιπράσκειν τὸν ἐπίτροπον, εἰ μὴ ἄρα εὔλογός ἐστιν αἰτία, ἐξ ἧς δυνατὸν καὶ ἀκίνητα πράγματα πραθῆναι. Μηδεὶς οὖν τῶν κηδεμόνων ἐκποιείτω πράγματα ἀφηλίκων δίχα ἀποράσεως κριτοῦ, ἐξηρημένης ἐσθῆτος παλαιᾶς καὶ φυλαχθῆναι μὴ δυναμένης καὶ ζώων περιττῶν τῇ χρείᾳ τῶν ὀρφανῶν. (Β. XXXVIII. 9. 36.)

46. Τὰ παρὰ τοῦ ἐπιτρόπου γινόμενα βέβαιά εἰσι καὶ τὸ παρ' αὐτοῦ νομίμως πραθὲν, εἴτε εὐπορεῖ εἴτε μὴ, οὐκ ἐκδικεῖ ὁ νέος· ἡ δὲ κακῇ πίστει γενομένη πρᾶσις οὐκ ἔρρωται.

47. Εἴτε ποιήσει, ἅπερ οὐκ ἐχρῆν ὁ ἐπίτροπος, εἴτε μὴ ποιήσει, ἅπερ ἔδει, ἐνέχεται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ· χρεωστεῖ δὲ ῥαθυμίαν καὶ δόλον καὶ ἐπιμέλειαν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν· ἐνέχεται δὲ συναινῶν τῷ ὀρφανῷ ποιοῦντι ἁπλῆν δωρεὰν ἢ θανάτου αἰτίᾳ. (Β. XXXVIII. 3. 1).

48. Εἰ μὴ πιστῶς διοικήσουσιν οἱ ἐπίτροποι καταδικάζονται, κἂν εἶπεν ὁ πατὴρ ἀλογοθέτητον αὐτὸν εἶναι· διὰ γὰρ τῶν τοιούτων οὐκ ἐναλλάσσεται τὸ κοινὸν νόμιμον.

49. Ἐὰν πολλοὺς ἐπιτρόπους ἐσχηκὼς ἑνὶ ἐξ αὐτῶν ἀπόρῳ ὄντι διαθέμενος συγχωρήσω τὴν λογοποιίαν τῆς αὐτοῦ διοικήσεως, μόνα τὰ ἐξ ἀμελείας δοκῶ συγχωρεῖν αὐτῷ, οὐ μὴν καὶ εἴ τι ἐκ τῆς ἐπιτροπῆς ἔσχεν ἢ κατὰ δόλον ἐπλημμέλησεν.

50. Ἀκωλύτως αἱ μητέρες τῶν παίδων ἐπιτροπεύουσιν, ἅμα μέντοι τῷ δευτέροις αὐτὰς ὁμιλῆσαι γάμοις εὐθὺς ἐξωθοῦνται τῆς ἐπιτροπῆς. (Β. XXV. 2. 68).

51. Ἐὰν μήτηρ ἐπιτροπεύουσα παιδὸς καὶ ὑπερβᾶσα τὴν ἐ-

43. Ἡ κατὰ τῶν ἐπιτρόπων ἀγωγὴ ἁρμόζει καὶ εἰς κληρονόμους καὶ κατὰ κληρονόμων.

44. Τὰ ἀκίνητα τοῦ ἀνηλίκου καὶ ἂν ἦσαν πωλήσιμα εἰς τὸν πατέρα του, δὲν ἐκποιοῦνται, ἐκτὸς ἐὰν ῥητῶς ὁ πατὴρ εἰς διαθήκην ἢ κωδίκελλον ἐπέτρεψε τὴν ἐκποίησιν ἢ ὑπάρχῃ χρέος ἐπικείμενον καὶ τότε κατ' ἀπόφασιν τοῦ πραίτωρος.

45. Ἡ διάταξις προστάζει νὰ μὴ πωλῇ ὁ ἐπίτροπος τίποτε, ἐκτὸς ἐὰν ἦναι εὔλογος αἰτία, διὰ τὴν ὁποίαν δυνατὸν καὶ ἀκίνητα πράγματα νὰ πωληθῶσι. Κανεὶς λοιπὸν τῶν κηδεμόνων δὲν ἐκποιεῖ πράγματα τῶν ἀνηλίκων χωρὶς ἀπόφασιν διαστοῦ, ἐξαιρέσει παλαιῶν φορεμάτων μὴ δυναμένων νὰ φυλαχθῶσι καὶ ζώων περιττῶν εἰς χρείαν τῶν ὀρφανῶν.

46. Τὰ παρὰ τοῦ ἐπιτρόπου γινόμενα ἰσχύουσι καὶ τὸ παρ' αὐτοῦ νομίμως πωληθὲν, εἴτε εὐπορεῖ εἴτε ὄχι, δὲν διεκδικεῖ ὁ ἀνήλικος· ἡ δὲ κακῇ πίστει γενομένη πώλησις δὲν ἰσχύει.

47. Εἴτε πράξῃ ὁ ἐπίτροπος, ὅσα δὲν ἔπρεπεν, εἴτε δὲν πράξῃ, ὅσα ἔπρεπεν, ἐνέχεται εἰς τὴν κατὰ τῶν ἐπιτρόπων ἀγωγήν· εὐθύνεται δὲ διὰ ῥαθυμίαν καὶ δόλον καὶ χρεωστεῖ ἐπιμέλειαν ὁποίαν καὶ εἰς τὰ ἰδιά του πράγματα· ἐνέχεται δὲ συναινῶν ὅταν ὁ ὀρφανὸς δωρῇ ἁπλῶς ἢ δι' αἰτίαν θανάτου.

48. Ἐὰν οἱ ἐπίτροποι δὲν διοικήσωσι πιστῶς, καταδικάζονται, καὶ ἐὰν ὁ πατὴρ εἶπε νὰ ἦναι ἀνεύθυνοι· διότι ἀπὸ τὰ τοιαῦτα δὲν μεταβάλλεται τὸ κοινὸν νόμιμον.

49. Ἐὰν ἔχων πολλοὺς ἐπιτρόπους εἰς ἕνα ἐξ αὐτῶν ὡς ἄπορον συγχωρήσω διὰ διαθήκης τὴν λογοδοσίαν τῆς διοικήσεώς του, θεωρεῖται ὅτι τὸν συγχωρῶ μόνον τὰ προελθόντα ἀπὸ ἀμέλειαν, ὄχι ὅμως καὶ ἐὰν ἔλαβέ τι ἀπὸ τὴν ἐπιτροπὴν ἢ ἔπραξε κατὰ δόλον.

50. Αἱ μητέρες ἐπιτροπεύουσι τὰ τέκνα ἀνεμποδίστως, ἅμα ὅμως ἔλθωσιν εἰς δεύτερον γάμον εὐθὺς ἐξόνονται ἀπὸ τὴν ἐπιτροπήν.

51. Ἐὰν μήτηρ ἐπιτροπεύουσα τέκνον καὶ παραβᾶσα τὴν ὑπό-

παγγελίαν δευτερογαμήσῃ, μὴ αἰτήσασα αὐτῷ πρῶτον ἐπίτροπον καὶ τοὺς λογισμοὺς παραδοῦσα, οὐδὲν ἧττον ὑπόκεινται διὰ τοῦτο καὶ τὰ τοῦ ἑτέρου ἀνδρὸς πράγματα.

52. Ἐὰν γυνὴ μετὰ θάνατον τοῦ ἀνδρὸς τὰ τῆς θυγατρὸς αὐτῆς διοικοῦσα πράγματα, τινὰ δι' ἀργυροπρατῶν πωλήσῃ καὶ τὸ τίμημα λάβῃ, εἰ ἄπορός ἐστιν, οὐκ ἐλευθεροῦνται οἱ ἀργυροπράται, ἐὰν εἰδότες τῆς κόρης εἶναι τὰ πράγματα, δεδώκασι τὰς τιμάς· εἰ καὶ τὰ μάλιστα πολὺν χρόνον διῴκησε τὰ πράγματα αὐτῆς καὶ ἀνδρὶ ταύτην κατηγγύησεν.

53. Εἴτε εὔπορός ἐστιν ὁ ἐπίτροπος εἴτε ἄπορος, ὁ δόλος αὐτοῦ τὸν ὀρφανὸν οὐ καταβλάπτει. (B. II. 3. 198.)

54. Ὅτι ἐὰν ἐπίτροπος φθείρῃ τὴν ἐπιτροπευομένην παῖδα, ἵνα πρὸς τῇ ἄλλῃ ποινῇ τῇ παρὰ νόμων ὡρισμένῃ λαμβάνηται καὶ ἡ περιουσία αὐτοῦ πᾶσα καὶ δίδωται πρὸς τὴν παῖδα κατὰ δεσποτείαν καὶ οὐχὶ πρὸς τὸν δημόσιον, ὡς οἱ πρότερον διωρίζοντο νόμοι.

55. Τῶν γενομένων ἀναλωμάτων ἐπὶ διοικήσει πράγματος ἀλλοτρίου, τόκους παραδέχεσθαι ἡ καλὴ πίστις συνεβούλευσε.

56. Τὸ χρησίμως διοικηθὲν ἀναγκάζεται δεκτὸν ἡγεῖσθαι ὁ δεσπότης· καὶ ὅπερ δεκτὸν ἡγήσηται ὁ δεσπότης, ἔρρωται κἂν κακῶς διῳκήθη. (B. XVII. 1. 9.)

57. Εἰ καὶ ἀγνοοῦντος τοῦ δεσπότου τὰ πράγματα αὐτοῦ διῴκησέ τις, ἑκατέρωθεν ἁρμόζει ἀγωγὴ καὶ ὁ μὲν διοικήσας χρησίμως ἀπαιτεῖ, ὅσα ἐδαπάνησεν ἢ μέλλει τισὶ διδόναι· δίδωσι δὲ ὅσα ἐκ τῶν πραγμάτων ἔσχεν ἢ μὴ κατὰ τὸ δέον διῴκησεν.

58. Ἀπαιτήσας τὸ μὴ κεχρεωστημένον ὁ διοικητὴς τῷ δεσπότῃ δίδωσιν. (B. XVII. 1. 22.)

59. Ὁ πλέον τοῦ δέοντος δαπανήσας τὸ δεδοκιμασμένον λαμβάνει.

60. Καὶ τόκους οὓς ἔλαβε καὶ λαβεῖν ἠδύνατο ὁ διοικητὴς, δίδωσι· καὶ λαμβάνει οὓς δέδωκε καὶ οὓς ἠδύνατο λαβεῖν, ὑπὲρ ὧν αὐτὸς οἴκοθεν ἐδαπάνησεν. (B. XVII. 1. 18).

σχεσιν δευτεροϋπανδρευθῇ, χωρὶς πρῶτον νὰ αἰτήσῃ ἐπίτροπον καὶ νὰ παραδώσῃ τοὺς λογαριασμοὺς, διὰ τοῦτο ὑπόκεινται ἐπίσης καὶ τὰ πράγματα τοῦ δευτέρου ἀνδρός.

52. Ἐὰν γυνὴ μετὰ θάνατον τοῦ ἀνδρὸς διοικοῦσα τὰ πράγματα τῆς θυγατρός της, πωλήσῃ τινὰ δι' ἀργυροπωλῶν καὶ λάβῃ τὸ τίμημα, ἐὰν ἦναι ἄπορος, δὲν ἐλευθεροῦνται οἱ ἀργυροπράται, ἐὰν γνωρίζοντες ὅτι τὰ πράγματα εἶναι τῆς κόρης, κατέβαλον τὸ τίμημα· ἂν καὶ ἐπὶ πολὺν καιρὸν διῴκησε τὰ πράγματά της καὶ τὴν ἐμνήστευσε μὲ ἄνδρα.

53. Εἴτε εὔπορος εἶναι ὁ ἐπίτροπος εἴτε ἄπορος, ὁ δόλος του δὲν βλάπτει τὸν ὀρφανόν.

54. Ἐὰν ἐπίτροπος φθείρῃ τὴν ἐπιτροπευομένην κόρην, πρὸς τὴν ἄλλην ποινὴν τὴν ὡρισμένην ἀπὸ τοὺς νόμους λαμβάνηται καὶ ἡ περιουσία του ὅλη καὶ δίδεται κατὰ κυριότητα εἰς τὴν νέαν καὶ ὄχι εἰς τὸ δημόσιον, ὡς διέτατταν οἱ ἀρχαῖοι νόμοι.

55. Ἡ καλὴ πίστις ἀπαιτεῖ ἵνα τὰ ἔξοδα τὰ ὁποῖα ἔγειναν πρὸς διοίκησιν ἀλλοτρίων πραγμάτων ἔχωσι τόκους.

56. Τὸ διοικηθὲν χρησίμως ἀναγκάζεται ν' ἀποδέχηται ὁ κύριος· καὶ ὅ,τι ὁ κύριος θεωρήσῃ δεκτὸν, ἰσχύει καὶ ἐὰν διοικηθῇ κακῶς.

57. Ἐὰν καὶ ἀγνοοῦντος τοῦ κυρίου διῴκησέ τις τὰ πράγματά του, ἀγωγὴ ἁρμόζει καὶ ἀπὸ τὰ δύο μέρη καὶ ὁ μὲν διοικήσας χρησίμως ἀπαιτεῖ, ὅσα ἐδαπάνησεν ἢ μέλλει νὰ δώσῃ πρός τινας· δίδει δὲ ὅσα ἔλαβεν ἀπὸ τὰ πράγματα ἢ δὲν διῴκησε κατὰ τὸ πρέπον.

58. Ἀπαιτήσας ὁ διοικητὴς τὸ μὴ χρεωστούμενον τὸ ἀποδίδει πρὸς τὸν κύριον.

59. Ὁ ἐξοδεύσας πλέον τοῦ δέοντος λαμβάνει τὰ ἐγκριθέντα.

60. Καὶ τόκους ὅσους ἔλαβε καὶ ἠδύνατο νὰ λάβῃ ὁ διοικητὴς, ἀποδίδει· καὶ λαμβάνει ὅσους ἔδωκε καὶ ἠδύνατο νὰ λάβῃ, ἀπὸ ὅσα αὐτὸς ἐξ ἰδίων του ἐξώδευσεν.

61. Ὁ διοικητὴς τῶν περιττευόντων χρημάτων μετὰ τὴν ἀναγκαίαν δαπάνην δίδωσι τόκον. (Β. XVII. 1. 31.)

ΤΙΤΛ. Π'. *Περὶ τοῦ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς κατὰ τῶν κληρονόμων τοῦ τελευτήσαντος.*

1. Θεσπίζομεν μηδενὶ παντελῶς ἐξεῖναι ἢ τοὺς κληρονόμους τοῦ τελευτήσαντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ γαμετὴν ἢ συγγενεῖς ἢ ἄλλους αὐτοῦ προσγενεῖς ἢ ἐγγυητὰς πρὸ τῆς τῶν ἐννέα ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν, αἰτιᾶσθαι ἢ καθ' οἱονδήτινα τρόπον παρενοχλεῖν ἢ τινα ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν, εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου, εἴτε ἄλλης οἱασοῦν αἰτίας χάριν εἰς τὰ μνημονευθέντα ἰδικῶς ὁρώσης πρόσωπα. Εἰ δὲ ἐντὸς τῶν ἐννέα ἡμερῶν τολμήσει τίς τινα τῶν εἰρημένων προσώπων κρατῆσαι ἢ μεθοδεῦσαί τινα ὁμολογίαν ἢ ὑπόσχεσιν ἢ ἐγγύην παρ' αὐτοῦ κομίσασθαι, πάντα ταῦτα ἀνίσχυρα εἶναι θεσπίζομεν. Μετὰ δὲ τὴν τῶν ἐννέα ἡμερῶν παραδρομὴν εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγὰς, ταύτας κατὰ νόμους ἐγγυμναζέτω, μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς προθεσμίας περὶ χρονίαν παραγραφὴν ἢ ἐν ἄλλῃ οἱαδήποτε δικαιολογίᾳ παντελῶς γινομένου.

2. Τὰ παρ' ἑτέρων πραχθέντα ἑτέρους οὐ βλάπτει· διὰ ταῦτα ἐὰν πολλῶν ὄντων κληρονόμων τοῦ χρεώστου τινὲς ἐξ αὐτῶν κατέβαλον, οἱ ἕτεροι εἰ μὴ βουληθῶσιν, οὐ καταδικάζονται (*). (Β. IX. 3. 62.)

(*) Σημείωσαι τὴν παροῦσαν διάταξιν. Αὕτη διδάσκει κανονικῶς καὶ γενικῶς, ὅτι τὰ ἀπὸ ἄλλους πραττόμενα ἄλλους δὲν βλάπτουσι, καὶ εὐθὺς ἐπιφέρει καὶ τὴν περίστασιν λέγουσα ὅτι ἐάν τις χρεωστῶν τετρακόσια λόγ. χ. νομίσματα ἀποθάνῃ ἀφήσας τέσσαρας κληρονόμους, καὶ τούτων οἱ δύο εὐγνωμονοῦντες καταβάλλωσι χωρὶς δίκην πρὸς τὸν δανειστὴν τὰ ἀνήκοντα εἰς αὐτοὺς διακόσια νομίσματα, οἱ δὲ ἄλλοι δύο τὰ ἀρνῶνται καὶ

61. Ὁ διοικητὴς μετὰ τὰ ἀναγκαῖα ἔξοδα δίδει τόκον τῶν περιττευόντων πραγμάτων.

ΤΙΤΛ. Π'. — *Περὶ τοῦ πότε πρέπει νὰ ἐνάγωσιν οἱ δανεισταὶ κατὰ τῶν κληρονόμων τοῦ ἀποθανόντος.*

1. Διατάσσομεν κανεὶς νὰ μὴ δύναται πρὸ τῆς προθεσμίας τῶν ἐννέα ἡμερῶν καθ' ἃς πενθεῖται ὁ ἀποθανὼν νὰ ἐνάγῃ ἢ τοὺς κληρονόμους τοῦ ἀποθανόντος ἢ τοὺς γονεῖς ἢ τὰ τέκνα ἢ τὴν σύζυγον ἢ συγγενεῖς ἢ ἄλλους αὐτοῦ προσγενεῖς ἢ ἐγγυητὰς ἢ καθ' οἱονδήποτε τρόπον νὰ παρεινοχλῇ ἢ νὰ τοὺς ὑπενθυμίζῃ τι ἢ νὰ τοὺς καλῇ εἰς τὸ δικαστήριον, εἴτε λόγῳ χρέους προερχομένου ἀπὸ τὸν ἀποθανόντα, εἴτε χάριν ἄλλης οἱασδήποτε αἰτίας ἥτις νὰ ἀποβλέπῃ τὰ εἰδικῶς προλεχθέντα πρόσωπα. Εἰ δὲ ἐντὸς τῶν ἐννέα ἡμερῶν τολμήσῃ τις νὰ κρατήσῃ τινὰ τῶν εἰρημένων προσώπων ἢ νὰ ἐπιχειρήσῃ ἢ νὰ λάβῃ ἀπὸ αὐτὸν ὁμολογίαν τινὰ ἢ ὑπόσχεσιν ἢ ἐγγύησιν, διατάττομεν ὅλα ταῦτα νὰ ἦναι ἀνίσχυρα. Μετὰ δὲ τὴν παρέλευσιν τῶν ἐννέα ἡμερῶν ἐάν τις νομίσῃ ὅτι ἔχει ἀγωγάς τινα κατὰ τοιούτων προσώπων, ταύτας κινεῖ κατὰ νόμους, χωρὶς δηλ. ἀπὸ τὴν προθεσμίαν ταύτην νὰ βλάπτωνται ποσῶς οἱ ἐνάγοντες εἰς χρονίαν παραγραφὴν ἢ εἰς ἄλλην οἱανδήποτε δικαιολογίαν.

2. Τὰ παρ' ἄλλων πραχθέντα ἄλλους δὲν βλάπτουσι· διὰ τοῦτο ἐὰν πολλοὶ ὦσι κληρονόμοι τοῦ χρεώστου τινὲς ἐξ αὐτῶν ἐπλήρωσαν, οἱ ἄλλοι ἐὰν δὲν θελήσωσι, δὲν καταδικάζονται.

ζητῶσι δικαστήριον καὶ ἀπαιτῶσι νὰ δείξῃ ὁ δανειστὴς, ὅτι ἐδάνεισε τὸν διαθέτην τὴν τοσαύτην ποσότητα, δὲν δύναται ὁ δανειστὴς νὰ προβάλλῃ εἰς ἀπόδειξιν ὅτι ἐδάνεισε, καὶ εἰς δεῖγμα τῆς ἀγνωμοσύνης τῶν δύο κληρονόμων, οἵτινες ζητοῦσι τὴν δίκην, τὴν εὐγνωμοσύνην τῶν ἄλλων δύο συγκληρονόμων καὶ τὴν ἀνυπέρθετον ἀπὸ μέρους τούτων καταβολήν· διότι ἀντακούει ὅτι τὰ ἀπὸ ἄλλους πραττόμενα ἄλλους δὲν βλάπτουσι.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΠΕΡΙ ΖΗΜΙΑΣ ΚΑΙ ΠΟΙΝΩΝ.

ΤΙΤΛ. Α΄. — Περὶ Ζημίας.

1. Τῶν περὶ ζημίας νόμων ὁ Ἀκουίλιός ἐστι πάντων ἐπικρατέστερος· παρακελεύεται δὲ καὶ οὗτος καὶ περὶ τῶν ἄλλων μέν, ἐξαιρέτως δὲ περὶ τῶν ἀποδιδομένων εἰς τὸ διπλάσιον.

2. Ὁ ζῶν ἄγριον βλαπτικὸν, οἷον κύνα, κάπρον, λέοντα, λύκον καὶ ἐπὶ τῶν ὁμοίων ἔχων λελυμένον ἢ μὴ οὕτω δεδεμένον, ὥστε μὴ δύνασθαι βλάπτειν, ἔχων ἐν δημοσίᾳ παρόδῳ, εἰ ἄνθρωπος ἐκ τούτου τελευτήσῃ, διακόσια νομ. δίδωσιν· εἰ δὲ μὴ ἀπέθανεν, ἀλλ' ἐβλάβη, εἰς τὸ φαινόμενον τῷ δικαστῇ καταδικάζεται· τῶν δὲ λοιπῶν πραγμάτων διπλῆν δίδωσι τὴν ζημίαν. (B. XIX. 10. 35.)

3. Ἐὰν τετράποδον ζημιώσῃ τινὰ, δίδοται ἀγωγὴ ἐπὶ ἐκδόσει τοῦ ζώου ἢ τῇ ἀποτιμήσει τῆς ζημίας καὶ ἁρμόζει, ἡνίκα τὸ ζῶον ἀγριότητι κινηθὲν ἔβλαψεν, οἷον λακτιστὴς ἵππος ἐλάκτισεν, ἢ βοῦς εἰωθὼς κερατίζειν ἐκέρατισε. Γενικῶς γὰρ τότε ἁρμόζει ἡ κατὰ τοῦ ζώου τοῦ βλάψαντος ἀγωγὴ, ὅτε παρὰ τὴν φύσιν κινηθὲν τὸ θηρίον ἔβλαψεν· εἰ γὰρ ἀπὸ πόνου ὁ ἵππος λακτίσει, ἀργεῖ ἡ τοιαύτη ἀγωγὴ, καὶ ὁ τύψας ἢ τραυματίσας τὸν ἵππον ἐνάγεται τῇ τοῦ διπλοῦ ἀπαιτήσει, ἐπειδὴ μὴ τῷ ἰδίῳ σώματι ἐζημίωσεν. (B. LX. 2. 1.)

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΠΕΡΙ ΖΗΜΙΑΣ ΚΑΙ ΠΟΙΝΩΝ.

ΤΙΤΛ. Α΄. – Περὶ ζημίας.

1. Ἀπὸ ὅλους τοὺς περὶ ζημίας νόμους ἐπικρατέστερος εἶναι ὁ Ἀκουίλιος· οὗτος διατάττει καὶ περὶ τῶν ἄλλων, ἐξαιρέτως δὲ περὶ τῶν ἀποδιδομένων διπλασίων.

2. Ὁ ἔχων εἰς δημοσίαν πάροδον ζῶον ἄγριον βλαπτικὸν, καθὼς σκύλον, ἀγριόχοιρον, λέοντα, λύκον καὶ ἄλλο παρόμοιον ἀπολυμένον ἢ μὴ δεμένον εἰς τρόπον, ὥστε νὰ μὴ δύναται νὰ βλάπτῃ, ἐὰν ἀπὸ αὐτὸ σκοτωθῇ ἄνθρωπος, καταβάλλει διακόσια νομίσματα· εἰ δὲ ἀπὸ αὐτὸ δὲν ἐσκοτώθη, ἀλλ' ἐβλάφθη, καταδικάζεται εἰς ὅσον ὁ δικαστὴς κρίνει δίκαιον· εἰς δὲ τὰ λοιπὰ πράγματα διπλασίαν δίδει τὴν ζημίαν.

3. Ἐὰν τετράποδον ζημιώσῃ τινὰ, δίδεται ἀγωγὴ πρὸς παράδοσιν τοῦ ζώου ἢ εἰς τὸ ἐκτίμημα τῆς ζημίας καὶ ἁρμόζει, ὅταν τὸ ζῶον κινῆται ἀπὸ ἀγριότητα καὶ βλάπτῃ, καθὼς λακτιστὴς ἵππος ἐλάκτισεν ἢ βόδι συνειθισμένον νὰ κερατίζῃ ἐκτύπησε μὲ τὰ κέρατα. Καὶ γενικῶς τότε ἁρμόζει ἡ κατὰ τοῦ βλάψαντος ζώου ἀγωγὴ, ὅταν τὸ ζῶον κινῆται παρὰ τὴν φύσιν καὶ βλάπτῃ· διότι ἐὰν ὁ ἵππος λακτίσῃ ἀπὸ πόνον, ἀργεῖ ἡ τοιαύτη ἀγωγὴ, καὶ ὁ κτυπήσας ἢ πληγώσας τὸν ἵππον ἐνάγεται εἰς τοῦ διπλασίου τὴν ἀπαίτησιν, ὡς μὴ ζημιώσας μὲ τὸ ἴδιόν του σῶμα.

4. Ἐὰν ἵππος ὀσφρανθῇ μοῦλαν, ἡ δὲ λακτίσῃ καὶ κλάσῃ τινά, ὁ δεσπότης ἐνάγεται.

5. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐμὴν τῆς ἀμορρίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. Ὁ δὲ σῶμα δοῦλον βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἴ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ.

6. *Νεαρὰ τοῦ Καίσαρος Λέοντος.* Εἴ τις δή τινα εἰς ὀφθαλμὸν ἐπενέγκοι τινὶ ζημίαν, τοῦτον κελεύομεν, εἰ μὲν ἕνα, τῷ ἑνὶ καὶ αὐτὸν ζημιοῦσθαι τὴν ἴσην ὑπέχοντα δίκην· εἰ δὲ δύο, θατέρου μὲν τῶν ὀφθαλμῶν καὶ αὐτὸν ἀποστερεῖσθαι, ὡς ἂν εἴη σημεῖον φέρων τοῦ οἰκείου πονηρεύματος. Ἐπειδὴ δὲ καὶ χειρὸς ὀφείλει τῆς ἀνοσίου τὴν ἐκτομὴν, ἀντὶ τῆς ζημίας τῆς χειρὸς τῶν ὑπαρχόντων ζημιούσθω τὴν διμοιρίαν καὶ ταῦτα εἰς παραμυθίαν τοῦ βίου ὁ ὑπ' αὐτοῦ ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς λαμβανέτω· ἀλλ' εἰ μὲν τῶν εὐπόρων εἴη, οὕτως ἡ ζημία προβαινέτω· εἰ δὲ τῶν ἀπόρων, γινέσθω καὶ οὗτος τῆς παραπλησίου συμφορᾶς καὶ κοινωνὸς καὶ μεριστὴς καὶ τὸν βίον ἐχέτω ἐν σκότει τῇ ἀμφοτέρων τῶν ὀφθαλμῶν ἐκκοπῇ. Καὶ εἴ τινες δὴ τῷ κακουργήσαντι πρὸς τὴν πρᾶξιν συνῆραντο, εἰ μὲν αὐτόχειρες γεγόνασι τοῦ κακοῦ συνεξορύξαντες τοὺς ὀφθαλμούς, παραπλησίως καὶ αὐτοὶ κολαζέσθωσαν· εἰ δὲ ἀπέσχοντο μὲν τοῦ τὰς χεῖρας τοῖς ὀφθαλμοῖς συνεπιβαλεῖν, ἄλλην δέ τινα συνεργίαν παρέσχον τῷ πονηρεύματι, τοῖς μὲν ὁρίζεσθαι τὴν ποινὴν μέχρι τῶν εἰς τὸ σῶμα πληγῶν καὶ τῆς ἐν χρῷ κουρείας καὶ τῷ τρίτῳ μέρει τῆς τῶν ὑπαρχόντων ζημίας· τοὺς δὲ αὐτουργοὺς τῆς τυρλώσεως τοῖς προειρημένοις ὑπάγεσθαι.

7. Ὁ τὸν ἴδιον οἶκον ἐμπρησμοῦ γενομένου σπουδάζων σῶσαι καὶ διὰ τοῦτο τὸν οἶκον καταστρέφων τοῦ γείτονος, ἵνα μὴ ἐξ ἐκείνου τὸ πῦρ εἰς τὸν οἶκον αὐτοῦ καταβιβασθῇ, οὐ κρίνεται ὡς ἄδικον ζημίαν ποιῶν οὐδὲ τῷ Ἀκουιλίῳ νόμῳ ὑπόκειται. (Β. LX. 20. 2.)

4. Ἐὰν ἵππος μυρισθῇ ἡμίονον (μουλάρι), καὶ αὕτη λακτίσῃ καὶ συντρίψῃ πράγματά τινα, ὁ κύριος ἐνάγεται.

5. Ἐὰν βλαφθῇ ἐλεύθερον σῶμα, ἡ καταδίκη γίνεται εἰς τῆς θεραπείας τὰ ἔξοδα καὶ τὴν ἀπὸ ἀργίας ζημίαν, ὄχι ὅμως καὶ εἰς τὴν ἐκ τούτου δυσμορρίαν· διότι σῶμα ἐλεύθερον δὲν ἐκτιμᾶται. Ὁ δὲ βλάψας σῶμα δοῦλον πρὸς τὰ λεχθέντα ἀπαιτεῖται καὶ ἐκεῖνο εἰς ὅ,τι ἠλαττώθη ἡ ἐκτίμησις αὐτοῦ.

6. Καίσαρος Λέοντος νεαρά. Ἐάν τις βλάψῃ τὸμμάτι τινός, διατάττομεν, εἰ μὲν ἐβλάφθη ἓν ὀμμάτι, νὰ τυφλοῦται καὶ αὐτὸς τὸ ἓν κατὰ ταὐτοπαθείας ἀνθυποβολήν· εἰ δὲ δύο, νὰ στερῆται καὶ αὐτὸς τὸ ἓν τῶν ὀμμάτων, διὰ νὰ φέρῃ σημεῖον τῆς κακουργίας του. Ἐπειδὴ δὲ ὀφείλει καὶ τῆς ἀνοσίου αὐτοῦ χειρὸς τὸ κόψιμον, ἀντὶ τῆς ποινῆς ταύτης ζημιοῦται τὸ δίμοιρον τῶν ὑπαρχόντων του καὶ τοῦτο λαμβάνει πρὸς παρηγορίαν τῆς ζωῆς ὁ τυφλωθεὶς ἀπὸ αὐτόν· καὶ εἰ μὲν εἶναι εὔπορος, εἰς τοιοῦτο πρόστιμον ὑπόκειται· εἰ δὲ ἄπορος, γίνεται καὶ αὐτὸς τῆς αὐτῆς συμφορᾶς καὶ σύντροφος καὶ συμμέτοχος καὶ ζῇ εἰς τὸ σκότος τυφλωθεὶς καὶ ἀπὸ τὰ δύο. Καὶ ἄν τινες συνήργησαν τὸν κακοῦργον εἰς τὴν πρᾶξιν, εἰ μὲν ἔγειναν αὐτουργοὶ τοῦ κακοῦ συντυφλούμενοι, τιμωροῦνται καὶ αὐτοὶ ταὐτοπαθῶς· εἰ δὲ χεῖρας εἰς τὰ ὄμματα δὲν ἐπέβαλον, συνήργησαν ὅμως ἄλλως εἰς τὴν κακουργίαν, εἰς τούτους μὲν ἐπιβάλλεται ποινὴ σωματικοὶ ῥαβδισμοὶ καὶ καταδέρμης κούρευμα καὶ τοῦ τρίτου μέρους τῶν ὑπαρχόντων ζημία· οἱ δὲ αὐτουργοὶ τῆς τυφλώσεως ὑπάγονται εἰς τὰς προλεχθείσας ποινάς.

7. Ὁ εἰς πυρκαϊὰν πασχίζων νὰ σώσῃ τὴν ἰδίαν του οἰκίαν καὶ διὰ τοῦτο καταβαρίζων τὴν τοῦ γείτονος οἰκίαν, μήπως μεταβῇ τὸ πῦρ ἀπὸ ταύτην εἰς τὴν ἰδικήν του, δὲν κρίνεται ὡς πρόξενος ἀδίκου ζημίας οὐδὲ ὑπόκειται εἰς τὸν Ἀκουίλιον νόμον.

ΤΙΤΛ. Β'. — Περὶ Μοιχῶν.

1. Μοιχεία λέγεται μὲν καταχρηστικῶς καὶ ἡ τῆς παρθένου ἢ τῆς χήρας φθορὰ, κυρίως δὲ ἡ τῆς ὑπάνδρου. (B. LX. 37. 8.)

2. Μοιχεία καὶ ἐπὶ ἀνδρὸς λέγεται· ὅταν γὰρ ὁ ἀνὴρ ὁ ἔχων γυναῖκα πρὸς ἄλλην πταίσῃ, μοιχεία τοῦτο καλεῖται. Τὴν οὖν μοιχείαν τὴν ἐκ τοῦ ἀνδρὸς οὔτε οἰκεία γυνὴ οὔτε ἀλλοτρία δύναται ὡς ἔγκλημα ἐπὶ δικαστηρίων κινεῖν· οὐδὲ ἐὰν εἰς αὐτὴν ἁμαρτάνειν λέγηται ὁ ἀνήρ.

3. Ἡ περὶ μοιχείας ἀγωγὴ ἐντὸς πέντε ἐνιαυτῶν κινεῖται.

4. Τὸ τῆς μοιχείας ἔγκλημα οὐ πᾶσι κινεῖν τοῦτο παρακεχώρηται, ἵνα μὴ παρὰ τῶν βουλομένων ὁ γάμος ὑβρίζηται, ἀλλὰ μόνοις τοῖς ἐγγὺς οὖσι καὶ οἰκειοτάτοις προσώποις, πάππῳ ἤγουν πατρὶ, ἀδελφῷ, θείῳ πρὸς πατρὸς ἢ πρὸς μητρὸς, πάντων δὲ μάλιστα τῷ ἀνδρί.

5. Συνεστῶτος τοῦ γάμου οὐδεὶς ἄλλος παρὰ τὸν ἄνδρα τῆς γυναικὸς κατηγορεῖν αὐτῆς δύναται, εἰ μὴ πρότερον κατηγορήσῃ τοῦ ἀνδρὸς ὡς προαγωγοῦ. (B. LX. 37. 27.)

6. Τὸν νόμον τὸν περὶ μοιχείας οὐ δύναται κινεῖν γυνὴ οὐδὲ ἐὰν αὐτὴ λέγηται ἡμαρτῆσθαι· τουτέστιν οὐδὲ ἐὰν αὐτὴ ἡ βουλομένη κινεῖν τὴν ὑπόθεσιν λέγῃ ἐν ἑαυτῇ γενομένην τὴν ἁμαρτίαν καὶ αὐτὴν εἶναι, μεθ' ἧς τὸ τῆς ἁμαρτίας πταῖσμα τετέλεσται. (B. LX. 37. 46.)

7. Ὁ ἐλάττων τῶν κέ. ἐτῶν ὢν οὐ δύναται ἔγκλημα κινεῖν μοιχικὸν περὶ ἀλλοτρίου γάμου, εἰ μὴ ἄρα ὁ τὸν γάμον ἔχων δικαίῳ ἐκείνου προβάληται αὐτὸν ἐγκαλεῖν· τότε γὰρ καὶ ὁ τῶν κέ. χρόνων ἐλάττων τὸ ἔγκλημα τῆς μοιχείας δύναται καὶ ὑπὲρ ἀλλοτρίου γάμου κινεῖν· ὑπὲρ δὲ τοῦ ἰδίου γάμου τοῦ ἐννόμως δηλονότι γεγονότος, ὁπόσων ἂν εἴη χρόνων, τὸ περὶ μοιχείας ἔγκλημα κινεῖν οὐ κωλύεται. (B. LX. 37. 17.)

8. Τὸ συνεζευγμένον τῇ μοιχείᾳ ἀθέμιτον οὐ σβέννυται τῇ πενταετίᾳ. (B. LX. 37. 40.)

ΤΙΤΛ. Β'. — Περὶ μοιχῶν.

1. Μοιχεία καταχρηστικῶς μὲν λέγεται καὶ ἡ φθορὰ τῆς παρθένου ἢ τῆς χήρας, κυρίως δὲν εἶναι τῆς ὑπάνδρου.

2. Μοιχεία λέγεται καὶ εἰς ἄνδρα· διότι ὅταν ὁ ἔχων γυναῖκα ἀνὴρ πταίσῃ πρὸς ἄλλην, μοιχεία λέγεται τοῦτο. Τὴν τοιαύτην λοιπὸν μοιχείαν ἀπὸ μέρος τοῦ ἀνδρὸς οὔτε ἡ ἰδία του σύζυγος οὔτε ἐξωτικὴ γυνὴ δύναται ὡς ἔγκλημα νὰ κινήσῃ εἰς δικαστήριον· οὐδὲ ἐὰν λέγηται ὅτι ὁ ἀνὴρ ἔπταισε πρὸς αὐτήν.

3. Ἡ περὶ μοιχείας ἀγωγὴ κινεῖται ἐντὸς πέντε ἐτῶν.

4. Τῆς μοιχείας τὸ ἔγκλημα δὲν παρεχωρήθη εἰς ὅλους νὰ τὸ κινῶσι, διὰ νὰ μὴ ὑβρίζηται ὁ γάμος ἀπὸ τοὺς θέλοντας νὰ πράξωσι τοῦτο ἀλλ' εἰς μόνα τὰ πλησίον καὶ οἰκειότατα πρόσωπα, πάππον δηλ. πατέρα, ἀδελφὸν, θεῖον ἀπὸ μέρος πατρὸς ἢ μητρὸς, καὶ μάλιστα εἰς τὸν ἄνδρα.

5. Τοῦ γάμου συνεστῶτος κανεὶς ἄλλος παρὰ τὸν ἄνδρα τῆς γυναικὸς δύναται νὰ κατηγορήσῃ αὐτὴν, ἐὰν πρότερον δὲν κατηγορήσῃ τὸν ἄνδρα ὡς προαγωγόν.

6. Τὸν περὶ μοιχείας νόμον δὲν δύναται νὰ κινῇ γυνὴ οὐδὲ ἐὰν λέγηται ὅτι τὸ ἔγκλημα ἔγεινε πρὸς αὐτὴν· τουτέστιν οὐδὲ ἐὰν αὐτὴ ἡ θέλουσα νὰ κινήσῃ τὴν ἀγωγὴν λέγῃ ὅτι τὸ ἔγκλημα ἔγεινε πρὸς ἑαυτὴν καὶ εἶναι αὐτὴ, μὲ τὴν ὁποίαν ἐπράχθη τὸ ἔγκλημα.

7. Ὁ ἀνήλικος μοιχείας ἔγκλημα δὲν δύναται νὰ κινῇ περὶ ἀλλοτρίου γάμου, ἐκτὸς ἐὰν ὁ σύζυγος προβάλῃ αὐτὸν νὰ ἐγκαλῇ μὲ τὸ ἴδιόν του δικαίωμα· διότι τότε καὶ ὁ ἀνήλικος δύναται καὶ ὑπὲρ ἀλλοτρίου γάμου νὰ κινῇ τῆς μοιχείας τὸ ἔγκλημα· περὶ δὲ τοῦ ἰδίου γάμου τοῦ τελεσθέντος δηλ. ἐννόμως, ὅσων ἐτῶν κ' ἂν ἦναι, δὲν ἐμποδίζεται νὰ κινῇ τὸ περὶ μοιχείας ἔγκλημα.

8. Τὸ συνενωμένον μὲ τὴν μοιχείαν ἀθέμιτον δὲν σβύνεται μὲ τὴν πενταετίαν.

9. Πεντακετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας· ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν εἰς ἐκοῦσαν ἡμαρτηκότων.

10. Ἐρεῖται τῷ πατρὶ οὐ μὴν τῷ ἀνδρὶ, πάντα μοιχὸν φονεύειν, πολλῷ δὲ μᾶλλον καὶ ἐνυβρίζειν· φονεύειν δὲ ἐν τῷ οἴκῳ, ἐν ᾧ μένει, κἂν μὴ συνοικῇ αὐτῷ ἡ θυγάτηρ, καὶ ἐν τῷ οἴκῳ τοῦ γαμβροῦ· ἐὰν ἐν αὐτῷ τῷ ἔργῳ τῆς μοιχείας αὐτὸν καταλάβῃ, ἀλλαχοῦ δὲ φονεύειν οὐ δύναται· ἅμα δὲ τοὺς δύο φονεύειν ὀφείλει οὐ μὴν δὲ τὸν μὲν νῦν, τὸν δὲ μεθ' ἡμέρας. Τῷ δὲ ἀνδρὶ ἔξεστιν ἐν μόνῳ τῷ ἰδίῳ οἴκῳ φονεύειν τὸν μοιχὸν, ἀλλ' οὐ πάντα, ἀλλὰ τὸν προαγωγὸν καὶ τὸν ἐπιδειξάμενον πρώην παιγνικὴν τέχνην καὶ τὸν ἐν τῇ σκηνῇ προελθόντα ἐπὶ τῷ ᾄσαι ἢ ὀρχήσασθαι καὶ τὸν ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθέντα καὶ μὴ ἀποκαταστάντα καὶ τὸν ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς ἢ τῶν γονέων ἢ παίδων αὐτοῦ καὶ δοῦλον. Κελεύει δὲ ὁ νόμος τὸν φονεύοντά τινα τῶν εἰρημένων λύειν τὸν γάμον τὸν πρὸς τὴν γαμετήν· κἂν ὁποῖος δὲ εἴη ὁ πατὴρ, ἄδειαν ἔχει τοῦ φονεύειν, κἂν ἄρχων ἐστὶν ὁ μοιχὸς, ἐπὶ μέντοι τῶν γάμων ἐκείνων ἐφ' ᾧν δικαίῳ ἀνδρὸς δύναται κινεῖν, οἷον ἐὰν ὑπεξουσίαν τὴν ἑαυτοῦ κέκτηται θυγατέρα. (B. LX. 37. 23—25.)

11. Ἐὰν ὁ ἀνὴρ συσχῇ μοιχὸν ὃν οὐκ ἐρεῖται φονεύειν ἢ οὐ θέλει, δύναται παρακρατεῖν αὐτὸν ἐπὶ εἴκοσιν ὥρας συναπτὰς καὶ μάρτυρας εἰσάγειν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ μαρτυρῆσαι, ὡς ἐν τῇ μοιχείᾳ συνεσχέθη· εἰ δὲ ἀπολύσει αὐτὸν, οὐκέτι δύναται αὐτὸν κρατεῖν· εἰ δὲ ἀποφύγοι, δύναται ἐπανάγεσθαι καὶ φυλάττεσθαι τὰς εἴκοσιν ὥρας. (B. LX. 37. 26.)

12. Ταῦτα μὲν περὶ μοιχῶν οἱ ἀκριβέστεροι νομοθέται· ἕτεροι δὲ ἐνδιδόασι τῷ ἀνδρὶ πανταχοῦ καὶ πάντα, ὃν ἂν καταλάβοι μοιχὸν, ἀκωλύτως φονεύειν.

9. Τῆς μοιχείας τὸ ἔγκλημα σβύνεται μὲ τὴν πενταετίαν· λέγεται δὲ τοῦτο περὶ τῶν πταισάντων πρὸς θέλουσαν γυναῖκα.

10. Συγχωρεῖται εἰς τὸν πατέρα ὄχι ὅμως καὶ εἰς τὸν ἄνδρα, νὰ φονεύῃ πάντα μοιχὸν, πολὺ δὲ μᾶλλον καὶ νὰ τὸν ὑβρίζῃ· τὸν φονεύει δὲ εἰς τὴν ἰδίαν του οἰκίαν, ὅπου κάθηται, καὶ ἡ θυγάτηρ ἐὰν δὲν συγκατοικῇ μὲ αὐτὸν, καὶ εἰς τὴν οἰκίαν τοῦ γαμβροῦ· ἐὰν τὸν καταρθάσῃ εἰς αὐτὸ τῆς μοιχείας τὸ ἔργον, ἀλλαχοῦ ὅμως δὲν δύναται νὰ τὸν φονεύῃ· ὀφείλει δὲ νὰ φονεύῃ καὶ τοὺς δύο ταυτοχρόνως, καὶ ὄχι τὸν ἕνα σήμερον καὶ τὸν ἄλλον μεθ' ἡμέρας. Ὁ δὲ ἀνὴρ ἔχει ἄδειαν νὰ φονεύῃ τὸν μοιχὸν εἰς μόνην τὴν ἰδίαν του οἰκίαν, πλὴν ὄχι ἀδιαστόλως, ἀλλὰ τὸν προαγωγὸν καὶ τὸν μελθόντα πρότερον παιγνικὴν τέχνην καὶ τὸν ἐμφανισθέντα εἰς σκηνὴν διὰ νὰ τραγωδήσῃ ἢ νὰ χορεύσῃ καὶ τὸν καταδικασθέντα διὰ δημόσιον ἔγκλημα καὶ μὴ ἀποκατασταθέντα εἰς τὰ ποιλιτικὰ δικαιώματα καὶ τον ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς ἢ τῶν γονέων ἢ τῶν τέκνων του καὶ τὸν δοῦλον. Ὁ δὲ νόμος διατάττει ὁ φονεύων τινὰ τῶν λεχθέντων νὰ διαλύῃ τὸν μετὰ τῆς γυναικός του γάμον· ὁποιασδήποτε δὲ τάξεως κ' ἂν ἦναι ὁ πατὴρ, ἔχει ἄδειαν νὰ φονεύῃ, καὶ ἄρχων ἐὰν ἦναι ὁ μοιχὸς, εἰς ἐκεῖνον ὅμως τὸν γάμον, περὶ τοῦ ὁποίου δύναται νὰ κινῇ ἀγωγὴν κατὰ δικαίωμα ἀνδρὸς, καθὼς ἐὰν ἔχῃ τὴν θυγατέρα του ὑπεξουσίαν.

11. Ἐὰν ὁ ἀνὴρ συλλάβῃ μοιχὸν τὸν ὁποῖον δὲν συγχωρεῖται ἢ δὲν θέλῃ νὰ φονεύῃ, δύναται νὰ τὸν κατακρατῇ εἴκοσι συναπτὰς ὥρας καὶ νὰ φέρῃ μάρτυρας οἵτινες ὀφείλουσι νὰ μαρτυρήσωσιν εἰς τὴν κατηγορίαν, ὅτι συνελήφθη μοιχεύων· εἰ δὲ τὸν ἀπολύσῃ, δὲν δύναται πλέον νὰ τὸν κρατήσῃ· εἰ δὲ ὁ μοιχὸς διαφύγῃ, δύναται νὰ τὸν συλλάβῃ πάλιν καὶ νὰ τὸν φυλάττῃ τὰς εἴκοσιν ὥρας.

12. Ταῦτα μὲν διέταξαν οἱ ἀκριβέστεροι νομοθέται· οἱ δὲ λοιποὶ συγχωροῦσιν εἰς τὸν ἄνδρα νὰ φονεύῃ ἀνεμποδίστως παντοῦ καὶ πάντα, ὅντινα κ' ἂν συλλάβῃ μοιχόν.

13. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν εἰ συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος· εἰ δέ τις, ὡς εἰκὸς, ὑποπτεύσῃ τινὰ βούλεσθαι τῇ τῆς ἰδίας γαμετῆς συμπατῆξαι σωφροσύνῃ καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς ἐκπέμψῃ, ἐχούσας μαρτυρίας ἀνδρῶν ἀξιοπίστων καὶ μετὰ ταύτας τὰς τρεῖς μαρτυρίας εὕρῃ αὐτὸν συντυγχάνοντα τῇ ἰδίᾳ αὐτοῦ γαμετῇ, εἰ μὲν εἰς τὸν ἴδιον οἶκον ἢ τὸν ταύτης τῆς γυναικὸς ἢ τοῦ μοιχοῦ ἢ ἐν προπίναις ἢ ἐν προαστείοις εἶναι ἄδειαν τῷ ἀνδρὶ ταῖς οἰκείαις χερσὶ τὸν τοιοῦτον ἀνελεῖν, οὐδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ. Εἰ δ' ἐν ἄλλῳ τόπῳ τὸν τοιοῦτον εὕρει μετὰ τῆς ἑαυτοῦ γαμετῆς διαλεγόμενον ἢ ἐν ἐκκλησίᾳ, οὐκ ἐλαττόνων τριῶν μαρτύρων ἀξιοπίστων συγκαλουμένων, δι' ὧν ἀποδεῖξαι δύναται, ὅτιπερ αὐτὸν μετὰ τῆς ἑαυτοῦ γαμετῆς εὗρε, τῷ ἄρχοντι παραδιδόναι τῷ τὰ ἐγκλήματα ἐξετάζοντι· ἐκεῖνον δὲ ταῖς ἀληθείαις γινώσκοντα, μετὰ τὰς τρεῖς ἐγγράφους διαμαρτυρίας τῇ τοιαύτῃ γυναικὶ τοῦτον συνελθόντα, τὸν μὲν τοιοῦτον ὡς ἐκ μόνου τούτου τῷ τῆς μοιχείας ἐγκλήματι ὑποπεσόντα μηδεμιᾶς ἄλλης ζητουμένης ἀποδείξεως τιμωρεῖσθαι· ἄδειαν δὲ εἶναι τῷ ἀνδρὶ, ὡσὰν βούληται τῆς ἰδίας γαμετῆς κατηγορεῖν καὶ κατὰ νόμους τῷ ἐγκλήματι ἐπεξιέναι.

14. Καὶ ἡ ιθ'. Νεαρὰ τοῦ Καίσαρος Λέοντος περὶ τοῦ ἐπ' αὐτοφώρῳ ἁλόντος μοιχοῦ ἢ μοιχαλίδος, ὥστε καὶ ἀμροτέρους ῥινοκοπεῖσθαί φησι καὶ τὸν ἄνδρα ἀντὶ τῆς τοιαύτης ἀδικίας παραμυθίαν ἔχειν ἐκ τοῦ τὴν προῖκα λαμβάνειν τῆς ὀφθείσης ἀδίκου περὶ τὰ γαμικὰ δίκαια γυναικὸς, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι ὑπὲρ ἧς παρανομίας τετόλμηκεν.

15. Ὁ δὲ Μάγιστρος ἔλεγε, γυναικὸς μοιχαλίδος μὴ κερδαίνειν τὴν προῖκα τὸν ἄνδρα, ἀλλ' εἰ μὲν παῖδας αὖτη ἔχει, τὸ δίμοιρον λαμβάνειν τούτους τῆς προικός· τὸ δὲ τρίτον τὸ μοναστήριον ἐν ᾧ ἐμβάλλεται. Εἰ δὲ μὴ παῖδας ἔχει, τὸ μὲν δίμοιρον λαμβάνει τὸ μοναστήριον, τὸ δὲ τρίτον τοὺς ἀνιόντας εἴγε μὴ συνέπραξαν τῷ ἀσεβήματι. Ταῦτα δὲ πάντα γίνεσθαι, μετὰ τὸ ἐμ-

13. Ὁ καταλαβὼν τὸν μοιχὸν εἰς συμπλοκὴν μὲ τὴν ἰδίαν του σύζυγον ἐὰν συμβῇ νὰ τὸν φονεύσῃ, δὲν εὐθύνεται ὡς ἀνδροφόνος· εἰ δέ τις, ὡς ἐνδέχεται νὰ συμβῇ, ὑποπτευθῇ τινα ὅτι θέλει νὰ ὑβρίσῃ τὴν σωφροσύνην τῆς συζύγου του καὶ τὸν στείλῃ τρεῖς προσφωνήσεις ἐγγράφους μὲ ἀξιοπίστων ἀνθρώπων μαρτυρίας καὶ μετὰ τὰς τρεῖς ταύτας προσφωνήσεις τὸν εὕρῃ ὁμιλοῦντα μὲ τὴν γυναῖκά του, εἰ μὲν εἰς τὴν ἰδίαν του οἰκίαν ἢ τῆς συζύγου αὐτοῦ ἢ τοῦ μοιχοῦ ἢ εἰς καπηλεῖον ἢ εἰς προάστεια ἔχει ἄδειαν ὁ ἀνὴρ νὰ τὸν φονεύῃ ἰδιοχείρως, χωρὶς ἐκ τούτου νὰ φοβῆται κανένα κίνδυνον. Εἰ δὲ εὕρῃ τὸν τοιοῦτον ὁμιλοῦντα μὲ τὴν γυναῖκά του εἰς ἄλλον τόπον ἢ εἰς ἐκκλησίαν, συγκαλοῦνται ὄχι ὀλιγώτεροι ἀπὸ τρεῖς ἀξιοπίστους μάρτυρας, διὰ τῶν ὁποίων δύναται νὰ ἀποδείξῃ, ὅτι εὗρε τοῦτον μὲ τὴν γυναῖκά του, καὶ ἀναφέρεται πρὸς τὸν δικαστὴν τὸν ἐξεταστὴν τῶν ἐγκλημάτων· εἰ δὲ οὗτος διαγνωρίσῃ ὅτι τῳόντι ὁ ἄνθρωπος μετὰ τὰς τρεῖς ἐγγράφους προσφωνήσεις συνωμίλησε μὲ τὴν τοιαύτην γυναῖκα, ὁ τοιοῦτος ὡς ὑποπεσὼν ἐκ τούτου καὶ μόνου εἰς τῆς μοιχείας τὸ ἔκλημα τιμωρεῖται χωρὶς νὰ ζητῆται καμμία ἄλλη ἀπόδειξις· ὁ δὲ ἀνὴρ ἔχει ἄδειαν νὰ κατηγορῇ τὴν γυναῖκά του, ὅπως θέλῃ, καὶ νὰ δικάζηται κατὰ νόμους περὶ τοῦ ἐγκλήματος.

14. Καὶ τοῦ κυροῦ Λέοντος ιθ'. νεαρὰ περὶ τοῦ ἐπ' αὐτοφώρῳ μοιχοῦ ἢ μοιχαλίδος συλληφθέντος ῥινοκοποῦνται ἀμφότεροι καὶ ὁ μὲν ἀνὴρ ἀντὶ τῆς τοσαύτης ἀδικίας παρηγορεῖται λαμβάνων τὴν προῖκα τῆς φανείσης ἀδίκου γυναικὸς εἰς τὰ γαμικὰ δικαιώματα, αὕτη δὲ ἐγκλείεται εἰς μοναστήριον διὰ τὴν παρανομίαν τὴν ὁποίαν ἐτόλμησεν.

15. Ὁ δὲ Μάγιστρος ἔλεγεν, ὅτι τῆς μοιχαλίδος γυναικὸς δὲν κερδαίνει τὴν προῖκα ὁ ἀνὴρ, ἀλλ' εἰ μὲν αὕτη ἔχει τέκνα, ταῦτα λαμβάνουσι τὸ δίμοιρον τῆς προικὸς· τὸ δὲ τρίτον τὸ μοναστήριον, ὅπου ἐγκλείεται. Εἰ δὲ εἶναι ἄτεκνος, τὸ δίμοιρον λαμβάνει τὸ μοναστήριον, τὸ δὲ τρίτον οἱ ἀνιόντες ἂν δὲν συνείργησαν εἰς τὸ ἔγκλημα. Ταῦτα δὲ πάντα γίνονται, ἀφοῦ ἡ γυνὴ ἐγκλεισθῇ

θληθῆναι τὴν γυναῖκα εἰς μοναστήριον καὶ παρελθεῖν διετίαν καὶ μὴ βουληθῆναι τὸν ἄνδρα ἀναλαβεῖν αὐτήν.

16. Ὅτι τὴν μοιχευθεῖσαν εἰ εἴσω διετίας ἀναλαβεῖν ὁ ἀνὴρ βουληθείη, ἔξεστιν αὐτῷ τοῦτο ποιῆσαι, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ, μήτε διὰ τῶν ἐν μέσῳ γενομένων ἐλαττουμένου τοῦ γάμου.

17. Ἐπὶ τῇς μοιχευθείσης διετία δίδοται, ὥστε μήπω κειρομένην ἐνδιατρίβειν τῷ μοναστηρίῳ, τὸν δὲ ἄνδρα εἰσέρχεσθαι πρὸς αὐτὴν καὶ κολακεύειν τοῖς λόγοις, καὶ παρατίθεσθαι αὐτῇ τράπεζαν καὶ πάντα τρόπον ποιεῖν, ὥστε τὸν πάλαι πόθον ἀνάψαι, χωρὶς μέντοι βίας καὶ χειρῶν ἐπιβουλῆς μή τινος ἔχοντος ἐξουσίαν τῶν τῆς γυναικὸς κωλύειν τὸν ἄνδρα εἰσέρχεσθαι πρὸς τὴν γυναῖκα αὐτοῦ. Τῇ δὲ ἀποτασσομένῃ γυναικὶ τῷ γάμῳ τοῦ ἀνδρὸς ἓξ μῆνες δίδονται παρὰ τῶν δικαστῶν· καὶ εἰ μὲν τούτων ἐντὸς ἀσπάσηται τὸν γάμον καὶ συνέλθῃ τῷ ἀνδρὶ, ἐρεῖται αὐτῇ πράττειν τὰ ἀπ' ἀρχῆς καὶ συμβιοῦν τῷ ἀνδρί· εἰ δὲ ἀτελῆ τὴν ἔνστασιν καὶ ἀκλινῆ πρὸς τὸν ἄνδρα ἐνδείξηται, τότε μετὰ ἑξαμηνιαῖον καιρὸν λαμβάνουσαν τὴν προῖκα τὸν μονήρη μετέρχεσθαι βίον.

18. Εἴσω ἑξήκοντα ἡμερῶν μετὰ τὸ ῥεπούδιον, τουτέστι μετὰ τὴν διάζευξιν τοῦ γάμου, κατηγορῶν μοιχείας ὁ ἀνὴρ τῆς γυναικὸς οὐκ ἀπαιτεῖται συκοφαντίας τιμωρίαν· μετὰ δὲ τὰς ἑξήκοντα κατηγορῶν ὑπόκειται τῇ τιμωρίᾳ.

19. Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν, οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν.

20. Εἴ τις μοιχείαν ἁμάρτοι πρὸς ἐκείνην, πρὸς ἣν ἤδη πολλοὶ ἐπόρνευσαν, οὐκ ἐγκαλεῖται μοιχείας. (B. LX. 37. 62.)

21. Τὴν ἐν ἐργαστηρίῳ προενεχθεῖσαν, τουτέστιν εἰς τὸ παράστασθαι ἐργαστηρίου τεταγμένην γυναῖκα μοιχεύων τις εἰ μὲν αὐτὴ κυρία τοῦ ἐργαστηρίου ἦν καὶ ἄλλους εἶχεν ὑπηρέτας καὶ ὑπουργοὺς, τῇ τοῦ μοιχοῦ τιμωρίᾳ μετὰ ταύτης ὑπόκειται· εἰ δὲ

εἰς μοναστήριον καὶ παρέλθῃ διετία, ὁ δὲ ἀνὴρ δὲν θελήσῃ νὰ τὴν ἀναλάβῃ.

16. Ἐὰν ὁ ἀνὴρ θελήσῃ νὰ ἀναλάβῃ ἐντὸς διετίας τὴν μοιχευθεῖσαν, δύναται νὰ τὸ κάμῃ, χωρὶς ἐκ τούτου νὰ φοβῆται κανένα κίνδυνον, καὶ χωρὶς ὁ γάμος νὰ ἐλαττοῦται διὰ τὰ εἰς τὸ μεταξὺ συμβάντα.

17. Εἰς τὴν μοιχευθεῖσαν δίδεται διετία νὰ διατρίβῃ εἰς τὸ μοναστήριον χωρὶς ἀκόμη νὰ ἀποκαρῇ, ὁ δὲ ἀνὴρ ἔρχεται πρὸς αὐτὴν καὶ τὴν θεραπεύει μὲ λόγους, καὶ τὴν βάλλει τράπεζαν καὶ κάμνει πάντα τρόπον, ὥστε νὰ ἀνάψῃ τὸν παλαιὸν πόθον, χωρὶς ὅμως βίαν καὶ χειρεπιβολήν· κανεὶς δὲ τῶν τῆς γυναικὸς δὲν ἔχει ἐξουσίαν νὰ ἐμποδίζῃ τὸν ἄνδρα νὰ ἔρχηται πρὸς τὴν γυναῖκά του. Εἰς δὲ τὴν παραιτοῦσαν τὴν συζυγίαν μετὰ τοῦ ἀνδρὸς γυναῖκα δίδεται ἑξαμηνία ἀπὸ τοὺς διαστάς· κ' εἰ μὲν ἐντὸς τούτων ἀγαπήσῃ τὴν συζυγίαν καὶ στρέξῃ τὸν ἄνδρα, τὴν συγχωρεῖται νὰ φέρηται ὡς σύζυγος καὶ νὰ συνοικῇ μὲ τὸν ἄνδρα· εἰ δὲ δείξῃ ἀμετάτρεπτον σταθερότητα καὶ ἀποστροφὴν πρὸς τὸν ἄνδρα, τότε μετὰ τὴν ἑξαμηνίαν λαμβάνει τὴν προῖκα καὶ μετέρχεται τὸν μοναστικὸν βίον.

18. Ἐὰν ἐντὸς ἑξήκοντα ἡμερῶν μετὰ τὸ διαζύγιον κατηγορῇ ὁ ἀνὴρ τὴν γυναῖκα ὡς μοιχαλίδα δὲν ἀπαιτεῖται συκοφαντίας τιμωρίαν· εἰ δὲ κατηγορεῖ μετὰ τὰς ἑξήκοντα ὑπόκειται εἰς τὴν ποινήν.

19. Οἱ μοιχοὶ μετὰ τὸν δαρμὸν καὶ τὴν κούρευσιν ῥινοκοποῦνται, οἱ δὲ γινόμενοι μεσῖται καὶ συνεργάται τοῦ τοιούτου ἐγκλήματος, δαίρονται, κουρεύονται καὶ εἰς ἀειφυγίαν ὑποβάλλονται.

20. Ἐάν τις μοιχεύσῃ ἐκείνην, μὲ τὴν ὁποίαν πολλοὶ ἤδη συνευρέθησαν, δὲν ἐγκαλεῖται ὡς μοιχός.

21. Ἐάν τις μοιχεύσῃ γυναῖκα, ἥτις κατεστάθη ἐπιστάτις ἐργαστηρίου εἰ μὲν αὐτὴ ἦτον κυρία τοῦ ἐργαστηρίου καὶ εἶχε πολλοὺς ὑπηρέτας καὶ ἀκολούθους ὑπόκειται μὲ αὐτὴν εἰς τὴν τοῦ μοιχοῦ ποινήν· εἰ δὲ ὑπηρετεῖ αὐτὴ δι' ἑαυτῆς τοὺς ἐρχομέ-

αὐτὴ δι' ἑαυτῆς ὑπηρέτει εἰς τοὺς εἰσερχομένους ἐν τῷ ἐργαστηρίῳ αὐτῆς, οὔτε ὁ ἀνὴρ οὔτε αὐτὴ τιμωρεῖται· τῶν γὰρ εὐπολήπτων γυναικῶν σωφροσύνης οἱ νόμοι προενοήσαντο, τῶν δὲ εὐτελῶν καὶ χαμηλῶν καταπεφρονήκασιν. (Β. LX. 37. 37.)

22. Οὐ καλῶς ὁ μοιχὸς ἀντιτίθησι τῷ ἀνδρὶ, ὡς προαγωγοῦ γενομένου αὐτοῦ τὴν μοιχείαν ἥμαρτεν· ἡ δὲ γυνὴ κατηγορουμένη καὶ ἀντιτιθεῖσα τῷ ἀνδρὶ τὴν τῆς προαγωγίας παραγραφὴν ἑαυτὴν μὲν οὐκ ἐλευθεροῖ, δύναται δὲ ὁ δικαστὴς ὁρίζειν κατ' αὐτοῦ, ὡς προαγωγοῦ καὶ χωρὶς κατηγόρου.

23. Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσῃ δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει πρότερον τὸν ἄνδρα ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν· καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα χωρισμοῦ γενομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ τοῦ γάμου δωρεᾷ καὶ τὴν προῖκα καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχει, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τὸ τῆς προικὸς τὸ γ'. μέρος εἶναι γινώσκεται, ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ἐρρωθεῖσαν ποινὴν προσκυροῦσθαι. Εἰ γὰρ παῖδας ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν κατὰ τοὺς ἔμπροσθεν ὡρισμένους νόμους τοῖς παισὶ φυλάττεσθαι καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. Καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, λαβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν, ὥστε εἰ παῖδας ἔχοιεν, μόνης τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς δωρεᾶς, τῆς δεσποτείας κατὰ νόμους τοῖς παισὶ φυλαττομένης· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τοῖς αὐτοῦ παισὶ δωρούμεθα· παίδων δὲ μὴ ὑπόντων, τὴν μὲν τῆς προγαμιαίας δωρεᾶς δεσποτείαν τῇ γυναικὶ διαφέρειν θεσπίζομεν, τὴν δὲ ἄλλην πᾶσαν τοῦ ἀνδρὸς περιουσίαν τῷ φίσκῳ κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους.

24. Γυνὴ ὕπανδρος τῷ ἰδίῳ μοιχευθεῖσα δούλῳ αὐτὴ μὲν τιμωρεῖται καὶ κουρευομένη ῥινοκοπεῖσθω· ἀπελαυνομένη δὲ καὶ

νους εἰς τὸ ἐργαστήριόν της, οὔτε ὁ ἀνὴρ οὔτε αὐτὴ τιμωρεῖται· διότι περὶ τῶν εὐϋπολήπτων γυναικῶν τὴν σωφροσύνην ἐπρονόησαν οἱ νόμοι, τὰς δὲ εὐτελεῖς καὶ ποταπὰς κατεφρόνησαν.

22. Ὁ μοιχὸς δὲν ἀντιθέτει καλῶς πρὸς τὸν ἄνδρα, ὅτι διὰ τὴν προαγωγίαν τούτου ὑπέπεσεν εἰς τῆς μοιχείας τὸ ἔγκλημα· ἡ δὲ γυνὴ κατηγορουμένη καὶ ἀντιθέτουσα πρὸς τὸν ἄνδρα τῆς προαγωγίας τὴν ἔνστασιν ἑαυτὴν μὲν δὲν ἐλευθερόνει, ὁ δὲ δικαστὴς καὶ χωρὶς κατήγορον δύναται νὰ ἀποφασίζῃ κατ' αὐτοῦ ὡς προαγωγοῦ.

23. Ἐὰν ὁ ἀνὴρ νομίσῃ ὅτι δύναται ἡ σύζυγός του νὰ ἐξελεγχθῇ μοιχαλὶς, ὀφείλει πρότερον νὰ ἐγγράφηται κατηγορῶν τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν· καὶ ἐὰν ἡ τοιαύτη κατηγορία ἀποδειχθῇ ἀληθὴς, τότε μετὰ τὸ διαζύγιον κρατεῖ ὁ ἀνὴρ καὶ τὴν προγαμιαίαν δωρεὰν καὶ τὴν προῖκα καὶ προσέτι, ἐὰν δὲν ἔχῃ τέκνα, λαμβάνει τόσον ἀπὸ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν, ὅσον λογίζεται ὅτι εἶναι τὸ τρίτον μέρος τῆς προικός· ὥστε εἰς τὴν κυριότητα αὐτοῦ νὰ προσκυροῦται καὶ ἡ προῖξ καὶ τὸ διαταχθὲν πρόστιμον. Εἰ δὲ ἔχει τέκνα ἀπὸ τὸ αὐτὸ συνοικέσιον, διατάττομεν νὰ φυλάττωνται κατὰ τοὺς προεκτεθέντας ἀνωτέρω νόμους διὰ τὰ τέκνα καὶ ἡ προῖξ καὶ ἡ ἄλλη τῆς γυναικὸς περιουσία καὶ οὕτως ὁ μοιχὸς ἐξελεγχόμενος συντιμωρεῖται κατὰ νόμους μὲ τὴν γυναῖκα. Καὶ εἰ μὲν ὁ μοιχὸς ἔχει σύζυγον, λαμβάνει αὕτη τὴν ἰδίαν της προῖκα καὶ τὴν προγαμιαίαν δωρεὰν, ὥστε ἐὰν ἔχωσι τέκνα, ἡ γυνὴ καρποῦται μόνην τὴν δωρεὰν, τῆς κυριότητος φυλαττομένης κατὰ νόμους διὰ τὰ τέκνα· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν δωροῦμεν εἰς τὰ τέκνα· εἰ δὲ τέκνα δὲν ὑπάρχουσι, τῆς μὲν προγαμιαίας δωρεᾶς ἡ κυριότης διατάττομεν νὰ ἀνήκῃ εἰς τὴν γυναῖκα, πᾶσα δὲ ἡ ἄλλη τοῦ ἀνδρὸς περιουσία κατὰ τὸ ἀρχαῖον δίκαιον προσκυροῦται εἰς τὸ δημόσιον ταμεῖον.

24. Ἐὰν γυνὴ ὕπανδρος μοιχευθῇ μὲ τὸν ἴδιόν της δοῦλον, αὕτη μετὰ τὸν δαρμὸν καὶ τὴν κούρευσιν ῥινοκοπεῖται· ἀποδιώκε-

τῆς πολιτείας, ἐν ᾗ κατοικεῖ, καὶ πάσης τῆς οἰκείας ἐκπιπτέτω περιουσίας· ὁ μέντοι μοιχεύσας δοῦλος ζίφει τιμωρείσθω. (Β. LX. 37. 73.)

25. Γυνὴ μὴ ἔχουσα ἄνδρα τῷ ἰδίῳ δούλῳ μιγεῖσα εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦτο διαπράξηται, τυπτέσθω καὶ κουρευέσθω καὶ ὁ τοιοῦτος δοῦλος τυπτόμενος καὶ κουρευόμενος πιπρασκέσθω καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω τῷ δημοσίῳ. Εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθῇ, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶν ἀνεκποιήτως φυλαττέσθω, τῆς χρήσεως μόνης παρ' αὐτῇ μενούσης, καὶ ἡ τιμὴ δὲ τοῦ πραθέντος δούλου τοῖς παισὶν ἀνήκει. (Β. LX. 37. 74.)

26. Ὁ μοιχείαν τῇ ἰδίᾳ συνειδὼς γυναικὶ καὶ παραχωρῶν τυπτέμενος ἐξοριζέσθω, ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοπείσθωσαν.

27. Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, οὔτε ὁ γάμος ἔρρωται· ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω, ἡ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία. (Β. LX. 42. 13.)

28. Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι, οὐ μὴν ὁ παλλακευόμενος αὐτήν. (Β. LX. 37. 1.)

ΤΙΤΛ. Γ'. — Περὶ Πορνῶν καὶ τῶν ἐκβιαζόντων παρθένους.

1. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων διὰ δώδεκα ἀλλακτῶν σωφρονιζέσθω· καὶ ὁ μὴ ἔχων δὲ καὶ τῇ αὐτῇ ἁμαρτίᾳ περιπίπτων δι' ἓξ ἀλλακτῶν σωφρονιζέσθω.

2. Ὁ μέντοι γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος καὶ διαγινωσκομένης τῆς πράξεως, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω· ὁ δὲ κατὰ τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. Ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων τῶν

ται δὲ καὶ ἀπὸ τὴν πόλιν, ὅπου κατοικεῖ, καὶ ἐκπίπτει ἀπὸ ὅλην τὴν ἰδίαν της περιουσίαν· ὁ δὲ μοιχὸς δοῦλος τιμωρεῖται μὲ ξίφος.

25. Ἐὰν γυνὴ μὴ ἔχουσα ἄνδρα συνευρεθῇ μὲ τὸν ἴδιόν της δοῦλον, εἰ μὲν ἄτεκνος οὖσα πράξῃ τοῦτο, δαίρεται καὶ κουρεύεται καὶ ὁ τοιοῦτος δοῦλος δαιρόμενος καὶ κουρευόμενος πωλεῖται καὶ τὸ τίμημα αὐτοῦ προσκυροῦται εἰς τὸ δημόσιον ταμεῖον· Εἰ δὲ ἔχουσα τέκνα πράξῃ τοῦτο, καὶ ἡ περιουσία της ὅλη φυλάττεται ἕκτοτε ἀνεκποίητος διὰ τὰ τέκνα κατὰ κυριότητος δικαίωμα, ἀπομενούσης εἰς αὐτὴν μόνης τῆς καρπείας, καὶ τοῦ πωληθέντος δούλου τὸ τίμημα εἰς τὰ τέκνα ἀνήκει.

26. Ὁ γνωρίζων ὅτι ἡ σύζυγός του μοιχεύεται καὶ παραβλέπων τοῦτο δαιρούμενος ἐξορίζεται, ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοποῦνται.

27. Ἐὰν καταδικασθεὶς ὡς μοιχὸς γυναικὸς τὴν νυμφευθῶ, καὶ αὐτὴ ἂν δὲν κατεδικάσθη, ὁ γάμος δὲν ἰσχύει· ἀλλὰ καὶ κληρονόμον ἐὰν τὴν γράψω, ἡ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία.

28. Ὁ νυμφευθεὶς τὴν καταδικασθεῖσαν ὡς μοιχαλίδα ὑπόκειται εἰς τὸ περὶ μοιχείας ἔγκλημα, ὄχι ὅμως καὶ ὁ κρατῶν αὐτὴν ὡς παλλακήν.

ΤΙΤΛ. Γ'. — Περὶ πορνῶν καὶ βιαζόντων παρθένους.

1. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων σωφρονίζεται μὲ δώδεκα ἀλλακτά· ὁ δὲ ἄγαμος καὶ ὑποπίπτων εἰς τὸ αὐτὸ ἔγκλημα μὲ ἓξ ἀλλακτά.

2. Ὁ ἔχων γυναῖκα καὶ συνευρισκόμενος μὲ τὴν ἰδίαν του δούλην, ἐὰν ἡ πρᾶξις φανερωθῇ, δαιρόμενος σωφρονίζεται· ὁ δὲ κατὰ τόπον δικαστὴς παραλαμβάνων τὴν δούλην τὴν πωλεῖ ἐκτὸς τῆς ἐπαρχίας, καὶ τὸ τίμημα αὐτῆς προσκυροῦται εἰς τὸ δημόσιον ταμεῖον. Ὁ δὲ συνευρισκόμενος μὲ ἀλλοτρίαν δούλην, εἰ μὲν εἶναι εὔπορος καταβάλλει διὰ τὸ ἔγκλημα πρὸς τὸν δεσπότην τῆς

μὲν εὐπόρων ὑπάρχων παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομ. λς'. εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω καὶ καθόσον εὐπορεῖ κατ' ἀναλογίαν τῶν λς'. νομ. διδότω.

3. Οἱ ταῖς μοναζούσαις ἢ ταῖς ἀσκητρίαις ἢ ταῖς διακονίσσαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην Χριστοῦ Ἐκκλησίαν ἐνυβρίζοντες, ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς οὗτοι συνερθάρησαν.

4. Ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου ἀγόμενος ἢ καὶ ἄλλως σαρκικῶς συμπλεκόμενος ἅμα αὐτῇ ῥινοκοπείσθω, δηλονότι πρότερον ἀπ' ἀλλήλων διϊσταμένων. Εἰ μέντοι εἰς ὕπανδρον σύντεκνον τοῦτο διαπράξῃ, ἡ μὲν ποινὴ ὡσαύτως προβαινέτω, σὺν τούτοις δὲ καὶ τυπτέσθωσαν.

5. Ὁ παρθένῳ κόρῃ μιγνύμενος ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης εἰ μὲν θέλει λαβεῖν αὐτὴν εἰς γυναῖκα καὶ συναινέσουσι καὶ οἱ γονεῖς, τὸ συνάλλαγμα γινέσθω· εἰ δὲ ἓν μέρος τῶν γονέων τυγχάνει ἑκατέρου προσώπου οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεύς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν, εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως· εἰ δὲ παντελῶς εἴη ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

6. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν ῥινοκοπείσθω, δι-δοὺς αὐτῇ τὸ τῆς ὑποστάσεως αὐτοῦ τρίτον.

7. Τὸν τοιοῦτον ἀφορίζει καὶ ὁ ξζ'. κανὼν τῶν ἁγίων ἀποστόλων καὶ λαβεῖν ταύτην εἰς γυναῖκα κελεύει, κἂν εἴη πενεστάτη.

8. Ἡ δὲ Νεαρὰ τοῦ Πατριάρχου Κυροῦ Ἀθανασίου οὕτω φησίν, ἵνα προκηρυχθῇ καὶ στερχθῇ, γυναῖκα μὴ ἐπιῤῥίπτειν αὐτῆς τὴν τιμὴν καὶ μᾶλλον παρθένον τῷ βουλομένῳ· ἀλλ' εἰ βιάσεταί τις ἐν ἐρημίᾳ αὐτὴν, ἐκδικεῖσθαι κατὰ τοὺς νόμους δοκεῖ· εἰ δὲ ἑκοῦσα ἑαυτὴν ἀβιάστως, κουρᾷ καὶ πομπῇ σωφρονίζεσθαι καὶ μηδὲ τῷ φθορεῖ κατ' ἄμφω προσῇ τὸ ἀζήμιον, ἀλλὰ καὶ μάλα ἀποπληροῦν τῷ δημοσίῳ τὸ ἔννομον.

9. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ τρισκαιδεκά-

δούλης τριακονταέξ νομίσματα· εἰ δὲ εὐτελὴς, δαίρεται καὶ ἀναλόγως τῶν τριακονταέξ νομισμάτων δίδει κατὰ τὴν κατάστασίν του.

3. Οἱ ἀσελγαίνοντες πρὸς μοναζούσας ἢ ἀσκητρίας ἢ διακονίσσας, οὗτοι καὶ μὲ ὅσας αὐτοὶ συνερθάρησαν, ῥινοκοποῦνται, ὡς ὑβρίζοντες εἰς τὴν νύμφην τοῦ Χριστοῦ ἐκκλησίαν.

4. Ὁ συνευρισκόμενος μὲ τὴν σύντεκνόν του ἢ κατὰ λόγον γάμου ἢ καὶ ἄλλως σαρκικῶς, συῤῥινοκοπεῖται μὲ αὐτὴν ἀφοῦ δηλ. χωρισθῶσιν ἀπ' ἀλλήλους· εἰ δὲ πράξῃ τοῦτο πρὸς ὕπανδρον σύντεκνον, ἐκτελεῖται ἡ αὐτὴ ποινὴ, προσέτι καὶ δαίρονται.

5. Ὁ συνευρισκόμενος μὲ κόρην παρθένον κατὰ προαίρεσιν αὐτῆς, ἀγνοούντων δὲ τῶν γονέων, καθὼς φανερωθῇ ἡ πρᾶξις, εἰ μὲν θέλει νὰ τὴν νυμφευθῇ καὶ συναινέσωσιν οἱ γονεῖς, τελεῖται ὁ γάμος· εἰ δὲ τὸ ἓν μέρος τῶν γονέων τυγχάνει τοῦ ἑνὸς ἢ τοῦ ἄλλου προσώπου δὲν θελήσῃ, εἰ μὲν ὁ φθορεὺς εἶναι εὔπορος, καταβάλλει εἰς τὴν φθαρεῖσαν κόρην μίαν λίτραν χρυσίου, εἰ δὲ ἀπορώτερος, δίδει τὸ ἥμισυ τῆς περιουσίας του· εἰ δὲ εἶναι πάντῃ ἄπορος, δαίρεται καὶ κουρεύεται καὶ ἐξορίζεται.

6. Ὁ βιάζων κόρην καὶ φθείρων αὐτὴν, ῥινοκοπεῖται, δίδων εἰς αὐτὴν καὶ τὸ τρίτον τῆς περιουσίας του.

7. Τὸν τοιοῦτον ἀφορίζει καὶ ὁ ξζ'. κανὼν τῶν ἁγίων Ἀποστόλων καὶ διατάττει νὰ τὴν λαμβάνῃ εἰς γυναῖκα, καὶ πάμπτωχος ἐὰν ἦναι αὐτη.

8. Ἡ δὲ νεαρὰ Κυροῦ Ἀθανασίου τοῦ Πατριάρχου λέγει οὕτω. Διακηρύττεται καὶ στέργεται, ὥστε γυνὴ, καὶ μάλιστα παρθένος νὰ μὴ διακινδυνεύῃ τὴν τιμήν της πρὸς τὸν βουλόμενον· εἰ δέ τις βιάσῃ αὐτὴν εἰς ἐρημίαν, ὀφείλει νὰ τιμωρῆται κατὰ νόμους· εἰ δὲ ἡ παρθένος παραδώσῃ ἑαυτὴν ἀβιάστως, σωφρονίζεται μὲ κούρευσιν καὶ πόμπευσιν, καὶ οὐδὲ ὁ φθορεὺς μένει ἐκτὸς τῆς ποινῆς αὐτῶν τούτων, ἀλλὰ δίδει προσέτι εἰς τὸ δημόσιον ταμεῖον καὶ τὸ νόμιμον πρόστιμον.

9. Ὁ φθείρων κόρην ἄνηβον, ἤγουν πρὸ τοῦ δεκάτου τρίτου ἔ-

του χρόνου, ῥινοκοπείσθω καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως παρεχέτω τῇ φθαρείσῃ κόρῃ. (B. LX. 51. 34.)

10. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως αὐτῆς, μετὰ ταύτην τὴν ποινὴν καὶ τὸ τρίτον τῆς ὑποστάσεως παρεχέτω τῇ φθαρείσῃ κόρῃ.

ΤΙΤΛ. Δ'. — Περὶ Αἱμομικτῶν.

1. Οἱ αἱμομίκται εἴτε γονεῖς πρὸς τέκνα εἴτε τέκνα πρὸς γονεῖς εἴτε ἀδελφοὶ πρὸς ἀδελφοὺς ξίφει τιμωρείσθωσαν· οἱ δὲ κατ' ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τοὐτέστι πατὴρ εἰς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυιὰν ἢ πατρωὸς εἰς προγονὴν ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν, ἢ εἰς δύο ἀδελφὰς ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἐν εἰδήσει μιγνύμενος, οἱ τοιοῦτοι τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν.

2. Οἱ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνοι ἢ πατὴρ καὶ υἱὸς πρὸς θυγατέρα καὶ μητέρα ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς ἢ ἀνεψιὸς εἰς τὴν τοῦ θείου γυναῖκα ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα ἢ θεῖος εἰς τὴν γενομένην τοῦ ἀνεψιοῦ γυναῖκα πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν.

3. Οἱ ἀσελγεῖς ἤγουν ὁ ποιῶν καὶ ὁ πάσχων ξίφει τιμωρείσθωσαν· εἰ μὴ ἄρα ὁ πεπονθὼς ἐλάττων ἦν τῶν δώδεκα χρόνων· τότε γὰρ τὸ ἐνδεὲς τῆς ἡλικίας αὐτὸν ἀπαλλάττει ποινῆς.

4. Οἱ ἀλογευόμενοι ἤγουν οἱ κτηνοβάται καυλοκοπείσθωσαν.

5. Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς οὐ νόμῳ ἀλλὰ φάκτῳ καὶ προαιρέσει, καλῶς ὑποστήσεται τὸ τῆς μοιχείας ἔγκλημα· ἡ δὲ ὕστερον αὐτῷ γαμηθεῖσα εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετήν, συγγνωσθήσεται.

τους, ῥινοκοπεῖται καὶ τὸ ἥμισυ τῆς περιουσίας του δίδει εἰς τὴν φθαρεῖσαν κόρην.

10. Ὁ φθείρων τὴν ἀλλοτρίαν μνηστήν, εἰ μὲν κατὰ προαίρεσιν τῆς κόρης, ῥινοκοπεῖται· εἰ δὲ δυνάστικῶς, μετὰ τὴν ποινὴν ταύτην δίδει εἰς τὴν φθαρεῖσαν κόρην καὶ τὸ τρίτον τῆς περιουσίας του.

ΤΙΤΛ. Δ'. — Περὶ αἱμομικτῶν.

1. Οἱ αἱμομίκται εἴτε γονεῖς συνευρίσκονται μὲ τέκνα εἴτε τέκνα μὲ γονεῖς εἴτε ἀδελφοὶ μὲ ἀδελφὰς μὲ ξίφος τιμωροῦνται· οἱ δὲ κατ' ἄλλην συγγένειαν συμφθειρόμενοι πρὸς ἀλλήλους, τουτέστιν υἱὸς συνευρισκόμενος κατὰ γνῶσιν μὲ γυναῖκα πατρὸς ἤγουν μητρυιὰν ἢ πατὴρ μὲ γυναῖκα υἱοῦ ἢ πατρωὸς μὲ ἐγγόνην ἢ ἀδελφὸς μὲ γυναῖκα ἀδελφοῦ ἢ θεῖος μὲ ἀνεψιὰν ἢ ἀνεψιὸς μὲ θείαν, ἢ μὲ δύο ἀδελφὰς ἢ μὲ μητέρα ἐξωτικὴν καὶ θυγατέρα αὐτῆς, οἱ τοιοῦτοι διαιρόμενοι καὶ κουρευόμενοι ῥινοκοποῦνται.

2. Οἱ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως σαρκικῶς συνευρισκόμενοι ἐξάδελφοι καὶ τὰ ἀπὸ αὐτοὺς καὶ μόνους γεννώμενα τέκνα ἢ πατὴρ καὶ υἱὸς μὲ θυγατέρα καὶ μετέρα ἢ δύο ἀδελφοὶ μὲ δύο ἀδελφὰς ἢ ἀνεψιὸς μὲ τὴν γυναῖκα τοῦ θείου ἢ δύο ἀδελφοὶ μὲ μητέρα καὶ θυγατέρα ἢ θεῖος μὲ τὴν χρηματίσασαν γυναῖκα τοῦ ἀνεψιοῦ, οἱ τοιοῦτοι χωριζόμενοι, καὶ δαίρονται.

3. Οἱ ἀσελγεῖς ἤγουν ὁ ἐνεργῶν καὶ πάσχων μὲ ξίφος τιμωροῦνται· ἐκτὸς ἄρα ἐὰν ὁ πάσχων ἦναι νεώτερος τῶν δώδεκα ἐτῶν· διότι τότε ἡ ἐλλιπὴς ἡλικία τὸν ἀπαλλάττει ἀπὸ τὴν ποινήν.

4. Οἱ κτηνοβάται καυλοκοποῦνται.

5. Ὁ πασχίσας νὰ λάβῃ δύο γυναῖκας ὄχι κατὰ νόμον ἀλλὰ κατὰ πρᾶγμα καὶ προαίρεσιν, καλῶς ὑποβάλλεται εἰς τῆς μοιχείας τὸ ἔγκλημα· ἡ δὲ δευτέρα αὐτοῦ γυνὴ ἂν ἠγνοοῦσεν ὅτι αὐτὸς εἶχεν ἔννομον σύζυγον, συγχωρεῖται.

ΤΙΤΛ. Ε'. — Περὶ Κλεπτῶν, Ἀπελατῶν, Τυμβωρύχων καὶ Ἱεροσύλων.

1. Ἡ μὲν περὶ κλοπῆς ἀγωγὴ κατὰ κληρονόμων οὐ παραπέμπεται· ἡ δὲ ἀγωγὴ ἡ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα κατὰ παντὸς νεμομένου ἁρμόζει. (B. LX. 6. 29.)

2. Ὁ ἐν ἡμέρᾳ κλέπτων εἰ μὲν φανερὸς κλέπτης ἐστίν, εἰς τὸ τετραπλάσιον ἐνάγεται· εἰ δὲ ἀφανὴς, εἰς τὸ διπλάσιον.

3. Τὸν νυκτερινὸν κλέπτην τὸν ἔξω τῆς πόλεως ἔξεστι φονεύειν κἂν στρατιώτης ἐστί· τὸν δὲ ἐν πόλεσιν οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἀκόντιον ἐπιφέρεται. Πάντα δὲ τὰ βλάπτοντα ἀκόντια λέγεται· ἐπὶ ἑκατέρου δὲ δεῖ τοῦτο μετὰ κραυγῆς διαμαρτύρασθαι.

4. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τις, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα κινδύνου ἰδίου ῥεῖσασθαι αὐτοῦ.

5. Ἐὰν κλέψωσί τινες ἀλλότριον πρᾶγμα ἢ ἄλλως ἀφέλωνται καὶ πωλήσωσιν αὐτὸ, εἶτα ὁ δεσπότης βούλεται ἀνακαλέσασθαι τὸ οἰκεῖον, οὐκ ἀναγκάζεται διδόναι τὸ ὑπὲρ αὐτοῦ καταβληθὲν τίμημα, ἀλλὰ καὶ χωρὶς τοῦ τιμήματος λαμβάνει αὐτό. (B. XV. 1. 103.)

6. Ὅταν τι πρᾶγμα ἐν πανδοχείῳ ἢ ἐν καπηλείῳ κλαπῇ, ἄδειαν ἔχει ὁ τοῦ πράγματος κύριος εἰ μὲν θέλει κατὰ τοῦ κλέψαντος τὸ πρᾶγμα κινεῖν καὶ ποιεῖν τὴν ἐν διπλῷ ἀγωγὴν, ἢ τὴν ἐν τριπλῷ, εἰ μεῖζον εἴη τὸ πρᾶγμα, εἰ δὲ βούλεται, κατὰ τοῦ προεστῶτος τοῦ καπηλείου ἢ τοῦ πανδοχείου διεγκαλεῖν καὶ ποιεῖν τὴν εἰς τὸ ἁπλοῦν ἀγωγήν. (B. LX. 14. 1.)

7. Ὁ καπηλείου ἢ πανδοχείου τινὸς προϊστάμενος ἐάν τινος ἐλθόντος ἐκεῖσε ἀναδέξηται φυλάττειν τὸ πρᾶγμα αὐτοῦ, εἶτα τὸ τοιοῦτον πρᾶγμα κλαπῇ, αὐτὸς μὲν ὡς κλέπτης ἔχει τὴν περὶ κλοπῆς τῶν ἄλλων ἀγωγὴν καὶ αὐτὸς μὲν ἀπαιτεῖται ἱκανῶσαι τῷ

ΤΙΤΛ. Ε'. — Περὶ κλεπτῶν, ἀπελατῶν, τυμβωρύχων καὶ ἱεροσύλων.

1. Ἡ περὶ κλοπῆς ἀγωγὴ κατὰ κληρονόμων δὲν παραπέμπεται· ἡ δὲ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα ἁρμόζει κατὰ παντὸς νεμομένου.

2. Ὁ κλέπτων τὴν ἡμέραν εἰ μὲν εἶναι φανερὸς κλέπτης, εἰς τὸ τετραπλάσιον ἐνάγεται· εἰ δὲ μὴ φανερὸς, εἰς τὸ διπλάσιον.

3. Ὁ ἔξω τῆς πόλεως νυκτερινὸς κλέπτης συγχωρεῖται νὰ φονεύηται καὶ στρατιώτης ἐὰν ἦναι· ὁ δὲ κατὰ τὰς πόλεις δὲν φονεύεται, ἐκτὸς ἐὰν φέρῃ μεθ' ἑαυτοῦ ἀκόντιον. Ἀκόντια δὲ λέγονται πάντα ὅσα βλάπτουσιν. Εἰς ἀμφοτέρους ὅμως τούτους ἀνάγκη νὰ γίνωνται κραυγαὶ πρὸς μαρτυρίαν.

4. Ἐάν τις φονεύσῃ τὸν νυκτερινὸν κλέπτην, τότε μένει ἀτιμώρητος, ὅταν δὲν ἐδύνατο χωρὶς ἰδιόν του κίνδυνον νὰ φεισθῇ τὴν ζωὴν ἐκείνου.

5. Ἐὰν κλέψωσί τινες ἀλλότριον πρᾶγμα ἢ ἄλλως τὸ ἀφαιρέσωσι καὶ τὸ πωλήσωσιν, ἔπειτα θελήσῃ ὁ κύριος νὰ ἀνακαλέσῃ τὸ ἰδικόν του, δὲν ἀναγκάζεται νὰ δίδῃ τὸ δι' αὐτὸ καταβληθὲν τίμημα, ἀλλὰ τὸ λαμβάνει καὶ χωρὶς τὸ τίμημα.

6. Ὅταν κλερθῇ τι πρᾶγμα εἰς πανδοχεῖον ἢ καπηλεῖον, ὁ κύριος τοῦ πράγματος ἔχει ἄδειαν νὰ κινῇ κατὰ τοῦ κλέψαντος αὐτὸ καὶ νὰ ἐνάγῃ περὶ τοῦ διπλασίου ἢ περὶ τοῦ τριπλασίου, ἐὰν τὸ πρᾶγμα ἦναι μεγαλείτερον, εἰ δὲ θέλει νὰ κινῇ κατὰ τοῦ προεστοῦ τοῦ πανδοχείου ἢ τοῦ καπηλείου, τότε ἐνάγει περὶ τοῦ ἁπλοῦ.

7. Ὁ προεστὸς καπηλείου ἢ πανδοχείου τινὸς ἐὰν ἀναδεχθῇ αὐτὸς νὰ φυλάξῃ τὸ πρᾶγμα τοῦ ἐλθόντος νὰ καταλύσῃ εἰς αὐτὸ, ἔπειτα κλαπῇ τὸ τοιοῦτον πρᾶγμα, ὡς κλέπτης ὑπόκειται εἰς τὴν περὶ κλοπῆς τῶν ἀλλοτρίων ἀγωγὴν καὶ αὐτὸς μὲν ἀπαιτεῖται νὰ ἱκανοποιήσῃ τὸ πρᾶγμα πρὸς τὸν κύριον, τὴν δὲ περὶ κλο-

δεσπότῃ τὸ πρᾶγμα, τὴν δὲ περὶ κλοπῆς ἀγωγὴν αὐτὸς κατὰ τῶν εὑρισκομένων ἐν τῷ καπηλείῳ λοιπῶν κινεῖ.

8. Τῆς γυναικὸς κλεψάσης ὁ ἀνὴρ οὐ κατακρίνεται· ἁμάρτημα γάρ ἐστι καὶ ἡ κλεψία· καθολικῶς δὲ τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται.

9. Τοὺς ἐν φωσσάτῳ κλέπτοντας, εἰ μὲν ὅπλα, σφοδρῶς προστάττομεν τύπτεσθαι· εἰ δέ τι τῶν ὑποζυγίων, χειροκοπεῖσθαι.

10. Τὸ κλοπιμαῖον ξύλον ἐμβληθὲν οἴκῳ ἢ ἀμπελῶνι οὐκ ἀποσπᾶται, ἀλλ' ὁ ἐμβαλὼν εἰς τὸ διπλοῦν ἐνέχεται. Τῷ δὲ ὀνόματι τοῦ ξύλου πᾶσα ὕλη ἐπιτηδεία πρὸς οἰκοδομὴν ἢ ἀμπελῶνα περιέχεται. (B. LX. 12. 93.)

11. Τοὺς ἐν οἱαδήποτε πολιτείᾳ κλέπτοντας ἅπαξ μὲν τοῦτο ποιοῦντας θεσπίζομεν εὐπόρους μὲν καὶ ἐλευθέρους ὑπάρχοντας πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος καὶ διπλῆν ποσότητα καταβαλεῖν τῷ τὴν κλοπὴν ὑπομείναντι· εἰ δὲ ἄποροι εἶεν οἱ τοῦτο πεπραχότες, τυπτόμενοι ἐξοριζέσθωσαν· ἐὰν δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἁλῶσι, χειροκοπείσθωσαν.

12. Ὁ τοῦ κλέπτου δούλου δεσπότης ἢ τὸ ἀζήμιον τῷ τὴν κλοπὴν ὑποστάντι περιποιεῖται, ἢ εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν, τὸν δοῦλον εἰς τελείαν δεσποτείαν παραδίδωσι τῷ τὴν κλοπὴν ὑπομείναντι.

13. Τὰς ἀλλοτρίας ἀγέλας οἱ ἀπελαύνοντες ἅπαξ μὲν τοῦτο ποιοῦντες τυπτέσθωσαν, ἐκ δευτέρου δὲ διαπραττόμενοι ἐξοριζέσθωσαν· εἰ δὲ καὶ τρίτον φωραθεῖεν τοῦτο ποιοῦντες, χειροκοπείσθωσαν, τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν ἀποκαθισταμένης.

14. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν.

15. Ὁ ἐν θυσιαστηρίῳ ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ εἰσιὼν καὶ τῶν ἐν αὐτῷ ἱερῶν τι ἀφελόμενος τυρλούσθω· ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἢ ἐκ τοῦ ἄλλου ναοῦ ἀφελόμενος τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

πῆς ἀγωγὴν κατὰ τῶν ἐπιλοίπων τῶν εὑρισκομένων εἰς τὸ καπηλεῖον αὐτὸς κινεῖ.

8. Ἐὰν κλέψῃ ἡ γυνὴ, δὲν καταδικάζεται ὁ ἀνήρ· διότι ἔγκλημα εἶναι καὶ ἡ κλοπή· τὰ δὲ ἐγκλήματα γενικῶς ἀκολουθοῦσι τὴν κεφαλήν.

9. Οἱ κλέπτοντες εἰς τὸ στρατόπεδον, εἰ μὲν ὅπλα, διατάττομεν νὰ δαίρωνται σφοδρῶς· εἰ δὲ ζῶόν τι, νὰ χειροκοπῶνται.

10. Τὸ κλοπιμαῖον ξύλον, ἐὰν ἐμβληθῇ εἰς οἰκίαν ἢ ἀμπελῶνα, δὲν ἀποσπᾶται, ἀλλ' ὁ ἐμβαλὼν αὐτὸ ἐνέχεται εἰς τὸ διπλάσιον. Εἰς δὲ τὴν λέξιν ξύλον περιέχεται πᾶσα ὕλη ἐπιτηδεία πρὸς οἰκοδομὴν ἢ ἀμπελῶνα.

11. Οἱ κλέπτοντες εἰς οἱανδήποτε πόλιν ἐὰν πράξωσι τοῦτο ἅπαξ καὶ ἦναι εὔποροι καὶ ἐλεύθεροι, διατάττομεν ἐκτὸς τῆς ἀποκαταστάσεως τοῦ κλεφθέντος πράγματος νὰ καταβάλωσι καὶ διπλασίαν ποσότητα πρὸς τὸν ὑπομείναντα τὴν κλοπήν· εἰ δὲ οἱ πράξαντες τοῦτο εἶναι ἄποροι, δαιρόμενοι ἐξορίζονται· εἰ δὲ δὲν φωραθῶσιν ἅπαξ, ἀλλὰ πολλάκις, χειροκοποῦνται.

12. Ὁ δεσπότης τοῦ κλέπτου δούλου ἢ ἀποζημιόνει τὸν ὑπομείναντα τὴν κλοπὴν, ἢ ἐὰν δὲν θέλῃ νὰ κάμῃ τοῦτο, παραδίδει τὸν δοῦλον εἰς τελείαν κυριότητα πρὸς τὸν κλαπέντα.

13. Οἱ ἀπελάται τῶν ἀλλοτρίων ἀγελῶν, ἐὰν ἅπαξ ἀπελάσωσι τὰ ζῶα, δαίρονται· πράττοντες δὲ τοῦτο καὶ ἐκ δευτέρου, ἐξορίζονται· εἰ δὲ φωραθῶσιν ἀπελαύνοντες καὶ ἐκ τρίτου, χειροκοποῦνται, καὶ τὴν ἀπελασθεῖσαν ἀγέλην ἀποκαταστατίνουσιν εἰς τὸν ἴδιόν της κύριον.

14. Οἱ ἐκδύοντες τοὺς νεκροὺς εἰς τοὺς τάφους χειροκοποῦνται.

15. Ὁ ἐμβαίνων ἡμέραν ἢ νύκτα εἰς θυσιαστήριον καὶ ἁφαιρῶν τι ἀπὸ τὰ εἰς αὐτὸ ἱερὰ σκεύη τυρλοῦται· ὁ δὲ ἁφαιρῶν ἔξω τοῦ θυσιαστηρίου ἢ ἀπὸ τὸν ἄλλον ναὸν, δαίρεται κουρεύεται καὶ ἐξορίζεται.

ΤΙΤΛ. ΣΤ'. — Περὶ Φονέων.

1. Φονεύς ἐστιν ὁ σκοπὸν ἔχων φονεῦσαι, κἂν φονεύσῃ κἂν μὴ φονεύσῃ, ἀλλὰ τυχὸν τραυματίσῃ ἢ πλήξῃ μετρίως, ὃν φονεῦσαι ἐβούλετο· ὡσαύτως καὶ ἐκ τοῦ ἐναντίου οὐκ ἔστι φονεὺς ὁ μὴ θελήσας φονεῦσαι, εἰ καὶ φονεύσῃ. (B. LX. 39. 1.)

2. Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, ἀλλ' οὐ μεγάλην ἀμέλειαν· οἷον ἔῤῥιψέ τις ἑαυτὸν ἐκ τοῦ τείχους ἢ διὰ τὸ φυγεῖν ἢ δι' ἑτέραν χρείαν ἀναγκαίαν τινά· εὑρέθη τις κάτω, ἔπεσεν ἐπ' αὐτὸν ὁ καταφερόμενος καὶ ἔπληξεν εἰς μέρος τι καίριον καὶ ἀπέκτεινεν· ἐνταῦθα οὐκ ἔστι δόλος, ἀλλ' ἀμέλεια καὶ διὰ τοῦτο ὁ φονεύσας οὐ κρίνεται φόνου. (B. LX. 39. 5.)

3. Ὁ φονεύων ἑκουσίως οἵας ἂν εἴη ἡλικίας ξίφει τιμωρείσθω (*).

4. Ἡ δὲ Νεαρὰ δευτέρα νομοθεσία τοῦ κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου τὸν ἑκουσίως φονεύοντα δεχομένῃ κατὰ συμπάθειαν παρὰ τὴν δύναμιν τῆς πρώτης ἀειφυγίᾳ τοῦτον καταδικάζει καὶ τῆς οἰκείας περιουσίας ἐκπτώσει· οὐ τῷ δημοσίῳ δὲ ταύτην προσκυροῦσθαί φησιν ἀλλὰ μετὰ τὸ ἱκανωθῆναι τὴν τούτου γαμετὴν κατὰ νόμους, εἴς τε τὴν προῖκα καὶ τὴν προγάμου δωρεὰν καὶ τὰ θεώρητρα, εἰ ὕπεισι παῖδες τῷ φονεῖ, τὸ τρίτον τῆς καθαρᾶς ἐναπολειφθείσης τούτῳ περιουσίας τοῖς παισὶν αὐτοῦ προσκυροῦσθαι, τὸ ἕτερον τρίτον τῷ μοναστηρίῳ, εἰ μοναχὸς ἐθελήσει γενέσθαι καὶ τὸ ἕτερον τρίτον τῇ γυναικὶ καὶ τοῖς τέκνοις τοῦ τελευτήσαντος. Εἰ δὲ οὐχ ὕπεισι παῖδες τῷ πεφονευμένῳ, τῇ γυναικὶ καὶ τοῖς ἀνιοῦσιν ἐξίσου τὸ τοιοῦτον διαιρεῖσθαι τρίτον· τῆς γυναικὸς δὲ τοῦ βίου προαπελθούσης καὶ παίδων ὄντων, τούτους προτιμᾶσθαι τῶν ἀνιόντων. Εἰ δὲ μήτε παῖδες, μήτε γυνὴ, μήτε ἀνιόντες εἰσὶ τῷ ἀναιρουμένῳ, τοὺς ἄλλους

(*) Καὶ ὁ ἡ. κανὼν τοῦ μεγάλου Βασιλείου οὕτω λέγει· ὁ μεταχειρισθεὶς εἰς τὸν θυμόν του ἀξίνην κατὰ τῆς συζύγου του εἶναι ἑκούσιος φονεύς· ὡσαύτως καὶ ὁ μεταχειρισθεὶς ξίφος κατά τινος καὶ ὁ ποτίζων φάρμακα,

ΤΙΤΛ. ΣΤ'. — Περὶ Φονέων.

1. Φονεὺς εἶναι ὁ ἔχων σκοπὸν νὰ φονεύσῃ, εἴτε φονεύσῃ εἴτε δὲν φονεύσῃ, ἀλλὰ πληγώσῃ ἴσως ἢ κτυπήσῃ μετρίως ἐκεῖνον, τὸν ὁποῖον ἤθελε νὰ φονεύσῃ· ὡσαύτως καὶ ἐκ τοῦ ἐναντίου ὁ μὴ θελήσας νὰ φονεύσῃ δὲν εἶναι φονεύς, κ' ἐὰν φονεύσῃ.

2. Ὁ περὶ ἀνδροφόνων νόμος ἐπιζητεῖ δόλον, καὶ ὄχι μεγάλην ἀμέλειαν· καθὼς ἐῤῥίφθη τις κάτω ἀπὸ τὸ τεῖχος ἢ διὰ νὰ φύγῃ ἢ δι' ἄλλην τινὰ ἀναγκαίαν χρείαν· εὑρέθη τι ὑποκάτω, καὶ ὁ καταφερόμενος ἔπεσεν ἐπ' αὐτὸν, τὸν ἐκτύπησεν εἰς μέρος καίριον καὶ ἐρόνευσε τὸν ἄνθρωπον· εἰς τοῦτο δὲν εἶναι δόλος, ἀλλ' ἀμέλεια καὶ διὰ τοῦτο ὁ τοιοῦτος δὲν καταδικάζεται ὡς φονεύς.

3. Ὁ φονεύων ἑκουσίως, ὁποίας ἡλικίας κ' ἐὰν ἦναι, μὲ ξίφος τιμωρεῖται.

4. Ἡ δὲ ϛ'. νεαρὰ διάταξις τοῦ κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου παρὰ τὴν δύναμιν τῆς πρώτης συμπαθοῦσα τὸν ἑκουσίως φονεύοντα, καταδικάζει αὐτὸν εἰς ἀειφυγίαν καὶ ἔκπτωσιν τῶν ἰδίων του ὑπαρχόντων· ταῦτα δὲ, λέγει, δὲν προσκυροῦνται εἰς τὸ δημόσιον ταμεῖον, ἀλλὰ μετὰ τὴν κατὰ νόμους ἱκανοποίησιν τῆς συζύγου του, εἰς τὴν προῖκα καὶ τὴν προγαμιαίαν δωρεὰν καὶ τὸ θεώρητρον, εἰ μὲν ὁ φονεὺς ἔχει τέκνα, τὸ τρίτον τῶν καθαρῶν ἀπομεινάντων ὑπαρχόντων αὐτοῦ προσκυροῦται εἰς τὰ τέκνα, τὸ δὲ ἄλλο τρίτον εἰς τὸ μοναστήριον, ἐὰν θελήσῃ νὰ γείνῃ μοναχὸς καὶ τὸ ἄλλο τρίτον εἰς τὴν γυναῖκα καὶ τὰ τέκνα τοῦ φονευθέντος. Εἰ δὲ ὁ φονευθεὶς δὲν ἔχει τέκνα, τὸ τοιοῦτον τρίτον διαμοιράζεται ἐξ ἴσου εἰς τὴν γυναῖκα καὶ τοὺς ἀνιόντας· καὶ τῆς γυναικὸς προαποθανούσης τὰ τέκνα ἐὰν ὑπάρχωσι, προτιμῶνται ἀπὸ τοὺς ἀνιόντας. Εἰ δὲ ὁ φονευθεὶς δὲν ἔχει οὔτε τέκνα, οὔτε γυναῖκα οὔτε ἀνιόντας, οἱ ἄλλοι συγγενεῖς οἱ καλούμενοι εἰς τὴν

καὶ δι' ἄλλην αἰτίαν ἂν ἔδωσε ταῦτα καὶ ὁ πολέμιος καὶ αἱ ποτίζουσαι καὶ πίνουσαι ἀμβλωτρίδια.

ἐκ νόμου καλουμένους συγγενεῖς καὶ πρὸς τὴν δήλωσιν οὐ ῥαθυμήσαντας τοῦ ἀδικήσαντος λαμβάνειν τὸ τρίτον. Εἰ δὲ μὴ πρὸς τὸν μοναδικὸν βίον ὁ φονεὺς μετέλθῃ, οὐ τὸ τρίτον ἀλλὰ τὸ δίμοιρον τῆς ἐλευθέρας αὐτοῦ περιουσίας κατὰ τὴν εἰρημένην διάταξιν τῷ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρει· καὶ πρὸς τούτῳ μηδένα μηδέποτε τοιούτῳ ἐγκλήματι ἑαλωκότα ἢ πολιτικὴν ἢ ἄλλην τὴν οἱανοῦν πρᾶξιν μεταχειρίζεσθαι μηδὲ θείας ἀντιγραφῆς ἀξιούμενον, ἀλλ' εἶναι παντοίως ἄτιμον, ᾧ τὸ ζῆν μόνον φιλανθρώπως συγκεχώρηται..

5. Καὶ ἡ Νεαρὰ τοῦ κυροῦ Μανουὴλ τοῦ βασιλέως ἀειφυγίᾳ τὸν τοιοῦτον καταδικάζει, οὐκ ἀναγκάζουσα καὶ ἀποκείρεσθαι. Φησὶ γὰρ, ἄτοπον ἀναγκάζειν τὸν φονέα καὶ μὴ θέλοντα ἀποκείρεσθαι, ὁπότε καὶ τοὺς ἑκουσίως ἐρχομένους ἀποκαρῆναι οὐχ ἑταμως οὐδ' εὐχερῶς, ἀλλὰ μετὰ δοκιμασίας τῆς προσηκούσης παραδέχεσθαι διορίζονται.

6. Ἡ δὲ τοῦ πατριάρχου κυροῦ Ἀθανασίου νεαρὰ τὸν φόνου ἁλόντα αὐτὸν μόνον τιμωρεῖσθαι κελεύει κατὰ τοὺς νόμους· τοὺς δὲ παῖδας αὐτοῦ μὴ δημεύεσθαι, τῇ μιαιφονίᾳ μὴ συμπράξαντας· μεριζομένης δὲ τῆς αὐτοῦ περιουσίας κατὰ τὸν ἀριθμὸν τῶν οἰκείων παίδων, ἀπονέμειν μίαν καὶ τῷ φονευθέντι μοῖραν καὶ μάλιστα εἰ πενίᾳ συζῶν ἦν καὶ ἐπὶ γυναικὶ καὶ παισὶν ἀπῆλθε· μόνην δὲ τὴν τοῦ φονέως μερίδα προσκυροῦσθαι τῷ δημοσίῳ.

7. Οὔτε ὁ ἴμφας τουτέστιν ὁ ἑπταετὴς οὔτε ὁ μαινόμενος φονεύων ὑπόκειται τῷ θανάτῳ. (B. LX. 39. 8·)

8. Ὁ μετὰ ξίφους πλήττων τινὰ ἐὰν φονεύσῃ, ξίφει τιμωρεῖσθω· εἰ δὲ ὁ πληγεὶς οὐ τελευτήσῃ, ὁ τὴν πληγὴν δεδωκὼς χειροκοπείσθω, διότι ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησε.

9. Μάχης μεταξύ τινων γενομένης, ἐὰν συμβῇ θάνατον προελθεῖν, τηρείσθωσαν τὰ ὄργανα οἱ ἀκροαταὶ, δι' ὧν ἐπράχθη ὁ θάνατος καὶ εἰ εὕρωσι διὰ ξύλων τελείων ἢ λίθων μεγάλων, ἢ λακτισμάτων τὸν φόνον γεγενημένον, τὸν τοῦτο διαπραξάμενον χειρο-

κληρονομίαν ἀπὸ τὸν νόμον, ἐὰν δὲν ἀμελήσωσι νὰ φανερώσωσι τὸν φονέα, λαμβάνουσι τὸ τρίτον. Εἰ δὲ ὁ φονεὺς δὲν μεταβῇ εἰς τὸν μοναχικὸν βίον, δὲν προσκυροῦται τὸ τρίτον εἰς τοῦ φονευομένου τὸ μέρος ἀλλὰ κατὰ τὴν λεχθεῖσαν διάταξιν τὸ δίμοιρον τῆς καθαρᾶς περιουσίας του· καὶ προσέτι κανεὶς ὑποπεσὼν εἰς τοιοῦτον ἔγκλημα δὲν μετέρχεται ποτὲ πολιτικὴν ἢ ἄλλην οἱανδήποτε ὑπηρεσίαν οὐδὲ ἀξιοῦται βασιλικὴν ἀντιγραφήν· ἀλλὰ μένει ἐξάπαντος ἄτιμος οὗτος, εἰς τὸν ὁποῖον φιλανθρώπως ἐσυγχωρήθη ἡ ζωὴ μόνη.

5. Καὶ ἡ νεαρὰ τοῦ κυροῦ Μανουὴλ τοῦ βασιλέως εἰς ἀειφυγίαν καταδικάζει τὸν τοιοῦτον, χωρὶς νὰ τὸν ἀναγκάζῃ καὶ νὰ ἀποκείρηται. Διότι εἶναι ἄτοπον λέγει νὰ ἀναγκάζηται ὁ φονεὺς καὶ μὴ θέλων νὰ ἀποκείρηται, ὅταν καὶ οἱ ἐρχόμενοι ἑκουσίως πρὸς ἀπόκαρσιν διατάττηται νὰ μὴ γίνωνται παραδεκτοὶ προθύμως μηδὲ εὐκόλως, ἀλλὰ μὲ τὴν προσήκουσαν δοκιμασίαν,

6. Ἡ δὲ νεαρὰ τοῦ Πατριάρχου κυροῦ Ἀθανασίου διατάττει, ὥζε αὐτὸς μόνον ὁ ῥαθεὶς φονεὺς νὰ τιμωρῆται κατὰ τοὺς νόμους· τὰ δὲ τέκνα του, ἂν δὲν συνήργησαν εἰς τὴν μιαιφονίαν, νὰ μὴ δημεύωνται· ὅταν δὲ μοιράζηται ἡ περιουσία του κατὰ τὸν ἀριθμὸν τῶν ἰδίων του τέκνων, ἀποδίδεται ἓν μέρος καὶ εἰς τὸν φονευθέντα καὶ μάλιστα ἂν αὐτὸς ἦτον ἄπορος καὶ ἀπέθανεν ἀφήσας γυναῖκα καὶ τέκνα· μόνον δὲ τὸ μερίδιον τοῦ φονέως προσκυροῦται εἰς τὸ δημόσιον ταμεῖον.

7. Οὔτε τὸ νήπιον τουτέστιν ὁ ἑπταετὴς οὔτε ὁ τρελὸς, ἐὰν φονεύσῃ, δὲν ὑπόκειται εἰς θάνατον.

8. Ὁ κτυπῶν τινα μὲ ξίφος, ἐὰν φονεύσῃ, μὲ ξίφος τιμωρεῖται· εἰ δὲ ὁ πληγωθεὶς δὲν ἀποθάνῃ, ὁ πληγώσας χειροκοπεῖται, ὡς τολμήσας νὰ κτυπήσῃ μὲ ξίφος.

9. Ἐάν τινες μαλώσωσι, καὶ ἐκ τούτου προκύψῃ θάνατος, οἱ δικασταὶ ἐξετάζουσι τὰ ὄργανα, μὲ τὰ ὁποῖα ἐπράχθη ὁ φόνος καὶ ἐὰν εὕρωσιν ὅτι ὁ φόνος ἔγεινεν ἀπὸ τέλεια ξύλα ἢ μεγάλους λίθους ἢ λακτίσματα, ὁ πράξας τοῦτο χειροκοπεῖται· εἰ δὲ συμ-

κοπείτωσαν· εἰ δὲ δι' ἐλαφροτέρων τινῶν ποινῶν συμβῇ γενέσθαι τὸν θάνατον, τυπτέτωσαν τοῦτον καὶ ἐξοριζέτωσαν.

10. Ἐὰν ἐν μάχῃ μετὰ χειρὸς τύψῃ τις καὶ φονεύσῃ, τυπτόμενος ἐξοριζέσθω· εἰ δὲ μὴ ἀποθάνῃ, τυπτέσθω.

11. Ἐάν τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ῥάβδοις τύψῃ καὶ ἐκ τούτων συμβῇ ἐκεῖνον τελευτῆσαι, οὐ κατακρίνεται ὡς ἀνδροφόνος· εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν ἢ φαρμάκῳ ἀνεῖλεν ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρεῖται. (B. LX. 59. 1.)

12. Ὁ ἀκουσίως φόνον ποιήσας ἐξορίζεται. (B. LX. 51. 16.)

13. Ὁ τὸ νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται.

14. Καὶ ὁ ἐλάττων τῶν κέ. ἐτῶν φονεύσας ἐνάγεται ὡς φονεύς.

15. Φονεύει τις τὸ τικτόμενον οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων καὶ ὁ μὴ τρέφων καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ, ἣν αὐτὸς οὐκ ἔσχεν. (B. XXXI. 6. 4.)

16. Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ πυρὶ παραδιδόσθω. (B. LX. 40. 1.)

17. Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ ζωῆς ἐκινδύνευεν, ἀνεύθυνος ἔσται. (B. LX. 39. 14.)

18. Ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κατακρίνεται.

19. Ὁ συγκλητικὸν ἢ στρατιώτην τινὰ φονεύσας κρινέσθω καθοσιώσεως τουτέστι καταδικαζέσθω καὶ τιμωρείσθω, καθὼς οἱ ἐν τῷ ἐγκλήματι τῆς καθοσιώσεως ἐνεχόμενοι. (B. LX. 36. 18.)

20. Ὁ φονεύσας τινὰ βιαζόμενον πρὸς ἀσέλγειαν ἀνεύθυνος.

21. *Νεαρὰ Καίσαρος Βασιλείου τοῦ πορφυρογεννήτου.* Ὅτι κολάζεσθαι δεῖ καὶ τοὺς ἐν ἀξιώματι φονεῖς καὶ ἀποθνήσκειν καὶ μηδὲν ἐκ τοῦ ἀξιώματος ὠφελεῖσθαι, εἰ μόνον προδήλως φανεῖεν δόλους ἢ συνωμοσίας ἢ συσκευὰς ἢ ἐπιθέσεις πρὸς τὸ μίσους ἄξιον τοῦτο ποιοῦντες ἔργον ἢ τοὺς ὑπηρετοῦντας αὐτοῖς παραπείθοντες τὸ πονηρὸν ἐκτελεῖν τοῦτο.

ᾖ νὰ γείνῃ ὁ θάνατος ἀπὸ ἐλαφρότερά τινα, ὁ αὐτουργὸς δαίρεται καὶ ἐξορίζεται.

10. Ἐὰν εἰς μάλωμα κτυπήσῃ τις μὲ τὸ χέρι καὶ φονεύσῃ, δαιρόμενος ἐξορίζεται· εἰ δὲ ὁ ἄνθρωπος δὲν ἀποθάνῃ, ὁ κτυπήσας δαίρεται.

11. Ἐάν τις δήρῃ τὸν ἴδιόν του δοῦλον μὲ λωρία ἢ ῥάβδους καὶ ἐκ τούτου συμβῇ νὰ ἀποθάνῃ αὐτὸς, ὁ δεσπότης δὲν καταδικάζεται ὡς ἀνδροφόνος· εἰ δὲ τὸν ἐβασάνισεν ἀμέτρως ἢ τὸν ἐφαρμάκωσεν ἢ τὸν ἔκαυσε, τιμωρεῖται ὡς φονεύς.

12. Ὁ φονεύσας ἀκουσίως ἐξορίζεται.

13. Ὁ φονεύσας τὸ νήπιον ὑπόκειται εἰς τιμωρίαν φόνου.

14. Καὶ ὁ ἀνήλικος φονεύσας ἐγκαλεῖται ὡς φονεύς.

15. Φονεύει δὲ ὄχι μόνον ὁ πνίγων τὸ γεννώμενον, ἀλλὰ καὶ ὁ ῥίπτων καὶ ὁ μὴ τρέφων καὶ ὁ ἐκθέτων τὸ βρέφος εἰς δημόσιον τόπον πρὸς εὐσπλαγχνίαν, τὴν ὁποίαν αὐτὸς δὲν εἶχεν.

16. Ὁ φονεύσας ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ εἰς τὸ πῦρ παραδίδεται.

17. Ὁ φονεύσας τὸν προεπιχειροῦντα πρὸς φόνον, ὅταν ἐκινδύνευε περὶ τῆς ζωῆς του, εἶναι ἀνεύθυνος.

18. Ὁ παραγγείλας τινὰ νὰ φονεύσῃ ἄλλον, ὡς φονεὺς καταδικάζεται.

19. Ὁ φονεύσας συγκλητικὸν ἢ στρατιώτην εὐθύνεται περὶ καθοσιώσεως, τουτέστι καταδικάζεται καὶ τιμωρεῖται, καθὼς οἱ ἐνεχόμενοι εἰς τὸ ἔγκλημα τῆς καθοσιώσεως.

20. Ὁ φονεύσας τινὰ βιάζοντα πρὸς ἀσέλγειαν εἶναι ἀνεύθυνος.

21. Καίσαρος Βασιλείου τοῦ Πορφυρογεννήτου νεαρά. Ἀνάγκη νὰ τιμωρῶνται καὶ οἱ ἀξιωματικοὶ φονεῖς καὶ νὰ φονεύωνται καὶ νὰ μὴ ὠφελῶνται ποσῶς ἀπὸ τὸ ἀξίωμα, ἐὰν μόνον φανῶσιν ὅτι ἐβολιεύθησαν ἢ συνώμοσαν ἢ ὠργάνισαν σκευωρίας εἴτε ἐπιβουλὰς πρὸς τὸ ἀξιομίσητον τοῦτο ἔργον ἢ παρεκίνησαν τοὺς ὑπηρέτας των νὰ πράξωσι τὴν κακουργίαν ταύτην.

22. Ὁ θάπτων ἔγκυον πρὶν ἢ τὸ βρέφος δι' ἀνατομῆς ἐκβληθῇ, φονεύειν δοκεῖ. (B. LIX. 2. 3).

23. Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ ἰδίου παιδὸς καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται.

24. Τὸν λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν. (B. LX. 39. 14).

25. Οἱ ἐπίσημοι λῃσταὶ ἐν τοῖς τόποις ἐν οἷς ἐπλημμέλησαν, φουρκίζονται· καὶ χρὴ, ἵνα διὰ τῆς θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοῖς τοιούτοις καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων. (B. LX. 51. 26).

ΤΙΤΛ. Ζ'. — Περὶ τῶν ἁρπαζόντων.

1. Οἱ ἁρπάζοντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενὴς ἐστὶν εἴτε δούλη εἴτε ἀπελεύθερα, καὶ μάλιστα εἰ τῷ Θεῷ εἰσι γυναῖκες καθιερωμέναι, κἂν τὴν ἰδίαν τις μνηστὴν ἥρπασεν, εἰ μὲν μεθ' ὅπλων εἴτε ξιφῶν ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν· οἱ δὲ συναιρόμενοι τούτοις ἢ συνειδότες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. Εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ ἢ συνειδότες καὶ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν. Ὁ δὲ παρθένον ἢ χήραν ἁρπάσας, εἰ καὶ μνηστὴν, οὐ δύναται ταύτην γαμεῖν, οὐ δὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα. Εἰ δὲ ἡ ἁρπαγεῖσα κόρη εἰς γάμον αὐτῷ τάχα συναρθῆναι θελήσει, μετὰ θάνατον τούτου, κἂν παῖδας ἐξ αὐτοῦ σχῇ, κἂν ἐκεῖνος τελευτῶν διατάξηται, οὐ διαδέχεται τοῦτον· ἐὰν δὲ μὴ συναρθῇ τούτῳ, λαμβάνει τὴν οὐσίαν αὐτοῦ· ἀλλ' οὐδὲ ἀπὸ τῆς πατρικῆς περιουσίας αὐτῆς κερδαίνει τι, ἀλλὰ

22. Ὁ θάπτων ἔγκυον πρὶν ἐκβληθῇ τὸ ἔμβρυον δι' ἀνατομῆς, ὑπολαμβάνεται ὅτι φονεύει.

23. Ἐὰν πατὴρ κατηγορήσῃ τινὰ ὡς φονέα τοῦ ἰδίου του τέκνου καὶ ἀποδειχθῇ ὅτι ἐκίνησε κατὰ συκοφαντίαν, δὲν ἀτιμοῦται.

24. Ἔχει ἕκαστος ἄδειαν νὰ φονεύῃ ἀκινδύνως τὸν λῃστήν.

25. Οἱ ἐπίσημοι λῃσταὶ ἀνασκολοπίζονται, καθ' οὓς τόπους ἐκακούργησαν· καὶ τοῦτο συμβάλλει πρὸς τὴν ἀπὸ τῆς θέας καταφόβισιν τῶν ἐπιχειρούντων τὰ τοιαῦτα καὶ πρὸς παρηγορίαν τῶν συγγενῶν τῶν φονευθέντων.

ΤΙΤΛ. Ζ'. — Περὶ ἁρπαζόντων.

1. Οἱ ἁρπάζοντες γυναῖκα ἢ μνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενὴς εἶναι αὐτὴ εἴτε δούλη εἴτε ἀπελεύθερος, καὶ μάλιστα ἐὰν ἦναι ἀφιερωμέναι εἰς τὸν θεὸν, καὶ τὴν ἰδίαν αὐτοῦ μνηστὴν ἂν ἥρπασέ τις, εἰ μὲν ἡ ἁρπαγὴ ἔγεινεν ἐνόπλως ἢ μὲ ξίφος ἢ μὲ ῥόπαλα, οἱ τοιοῦτοι μὲ ξίφος τιμωροῦνται· οἱ δὲ συνεργήσαντες αὐτοὺς εἴτε εἶξευρον τὸ πραττόμενον εἴτε ἑκουσίως τοὺς ὑπεδέχθησαν εἴτε ἄλλως πως τοὺς συνέτρεξαν, δαίρονται κουρεύονται καὶ ῥινοκοποῦνται. Εἰ δὲ ἡ ἁρπαγὴ ἔγεινε χωρὶς οἱασδήποτε ὅπλα, ὁ μὲν ἅρπαξ χειροκοπεῖται, οἱ δὲ συνεργάται τῶν τοιούτων εἰς τὴν ἁρπαγὴν εἴτε εἶξευρον καὶ ὑπηρέτησαν εἴτε ἑκουσίως ὑπεδέχθησαν, εἴτε ἄλλως πως τοὺς συνέτρεξαν, δαίρονται κουρεύονται καὶ ἐξορίζονται. Ὁ δὲ ἁρπάσας παρθένον ἢ χήραν, εἰ καὶ μνηστὴν, δὲν δύναται νὰ τὴν νυμφεύηται, οὐδὲ καὶ ὁ πατὴρ αὐτῆς ἐὰν συναινῇ καὶ συγχωρῇ τὸ ἔγκλημα. Ἀνίσως δὲ ἡ ἁρπασθεῖσα κόρη θελήσῃ νὰ συναρθῇ μὲ τὸν ἅρπαγα εἰς γάμον, μετὰ θάνατον αὐτοῦ δὲν τὸν κληρονομεῖ, κ' ἐὰν τεκνοποιήσῃ κ' ἐὰν αὐτὸς ἀποθνήσκων διατάξῃ τὸ τοιοῦτον· εἰ δὲ μὲ αὐτὸν δὲν συζευχθῇ, λαμβάνει τὴν περιουσίαν του· ἀλλ' οὐδὲ ἀπὸ τὴν πατρικήν της περιουσίαν κερδαίνει τι, ἀλλὰ τὰ μὲν πράγματα τοῦ πατρὸς

τὰ μὲν τοῦ πατρὸς πρὸς τοὺς ἄλλους κληρονόμους καταλιμπάνεται, τὰ δὲ τοῦ ἁρπαγος εἰς τὸ δημόσιον εἰσκομίζεται.

2. Ὅταν μετὰ πλήθους ἁρίκηταί τις εἰς οἰκίαν τινὸς καὶ εἴτε ἄκουσαν εἴτε ἑκοῦσαν ἁρπάσῃ γυναῖκα, ἁρπαγὴν πλημμελεῖν δοκεῖ καὶ τιμωρεῖται· ὅταν δὲ μόνος ἀπέλθῃ, μή τινας ἔχων τοὺς συνυπουργοῦντας καὶ ἁρπάσῃ τὴν γυναῖκα ἑαυτὴν προδεδωκυῖαν ἀνελέσθαι θαρρήσῃ, οὐχ ἁρπαγὴν, ἀλλὰ φθορὰν παρθένου ἁμαρτάνει.

3. Τὴν ἁρπαγὴν τῆς βιασθείσης γυναικὸς ἐκδικοῦσιν οἱ ἀδελφοὶ καὶ γονεῖς καὶ ἐπίτροποι καὶ κουράτωρες.

4. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καίεται. (B. LX. 58. 1.)

5. Ἐὰν χωρὶς δικαστικῆς ἀποράσεως ἐπιβατικῶς ἀφέληταί τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας, εἰ δὲ ἀλλότριον, παρεχέτω αὐτὸ τὸ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτοῦ. (B. L. 3. 55.)

6. Ὁ ἁρπάζων τι ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου ἢ καταπτώσεως εἴσω μὲν ἑνιαυτοῦ συναπτοῦ εἰς τετραπλοῦν, μετὰ δὲ τὸν ἑνιαυτὸν εἰς τὸ ἁπλοῦν κατέχεται πρὸς τῇ ὡρισμένῃ ποινῇ.

7. Ὁ ἁρπαξ οὐκ ἀπαλλάσσεται τῆς ποινῆς πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα. (B. LX. 17. 6).

8. Ὅμοιόν ἐστι τῷ ἁρπάσαι καὶ τὸ ὑποδέξασθαι τὰ ἁρπαγέντα ἐν εἰδήτει. (B. LX. 18. 28).

9. Οἱ βουλόμενοι θόρυβον ἢ στάσιν ποιῆσαι καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους καὶ ὁ ἔρηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ ἁρπάζοντες πράγματα, τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται.

10. Οἱ λεγόμενοι νεωτερικοὶ καὶ οἱ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείναιεν ἐξορίζονται· εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν καὶ πολλάκις κρατηθέντες καὶ πρότερον κολασθέντες ἐπὶ τῇ αὐτῇ ἐπέμειναν προπετείᾳ, τυπτόμενοι καὶ κουρευόμενοι διηνε-

ἀφίνονται εἰς τοὺς ἄλλους κληρονόμους, τὰ δὲ τοῦ ἁρπαγος προσκυροῦνται εἰς τὸ δημόσιον ταμεῖον.

2. Ἐάν τις ἔλθῃ μὲ πολλοὺς ἀνθρώπους εἰς οἰκίαν τινὸς καὶ ἁρπάσῃ γυναῖκα εἴτε ἑκουσίως εἴτε ἀκουσίως αὐτῆς, ὑπολαμβάνεται ὅτι πράττει ἁρπαγῆς ἔγκλημα καὶ τιμωρεῖται· εἰ δὲ ἐπέλθῃ μόνος, χωρὶς νὰ φέρῃ μεθ' ἑαυτοῦ συνεργάτας καὶ κρυφίως τολμήσῃ νὰ ἁρπάσῃ τὴν γυναῖκα ἥτις προδίδει ἑαυτὴν, πράττει ὄχι ἁρπαγὴν, ἀλλὰ φθορὰν παρθένου.

3. Τὴν ἁρπαγὴν τῆς βιασθείσης γυναικὸς διεκδικοῦσιν οἱ ἀδελφοὶ καὶ γονεῖς καὶ ἐπίτροποι καὶ κηδεμόνες.

4. Δοῦλος εἰξεύρων τὴν σκευωρίαν καὶ συνεργῶν εἰς τὴν ἁρπαγὴν τῆς ἰδίας του δεσποίνης καίεται.

5. Ἐάν τις χωρὶς δικαστικὴν ἀπόρασιν ἀφαιρέσῃ δυναστικῶς πρᾶγμα, εἰ μὲν εἶναι ἰδικόν του ἐκπίπτει ἀπὸ τὴν κυριότητα αὐτοῦ· εἰ δὲ ἀλλότριον ἀποδίδει τὸ πρᾶγμα αὐτὸ καὶ τὸ ἐκτίμημα αὐτοῦ.

6. Ὁ ἁρπάζων τι ἀπὸ πυρκαϊὰν ἢ ναυάγιον ἢ κατάπτωσιν οἰκοδομῆς ἐντὸς μὲν συναπτοῦ ἔτους ἐνέχεται εἰς τὸ τετραπλάσιον, μετὰ δὲ τὸ ἔτος εἰς τὸ ἁπλοῦν ἐκτὸς τῆς ὡρισμένης ποινῆς.

7. Ὁ ἁρπαξ δὲν ἐλευθεροῦται ἀπὸ τὴν ποινὴν, ἐὰν ἐπιστρέψῃ τὸ πρᾶγμα πρὸ τῆς δίκης.

8. Καὶ ἡ κατὰ γνῶσιν ὑποδοχὴ τῶν ἁρπασθέντων ὁμοιάζει μὲ ἁρπαγήν.

9. Οἱ θέλοντες νὰ διεγείρωσι θόρυβον ἢ ἀναστάτωσιν καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους καὶ ὁ ἔρηβος ἐπιφέρων δημοσίως ξίφος καὶ οἱ ἐπιβαίνοντες ἐξ ἐφόδου εἰς ἀγροὺς καὶ ἁρπάζοντες πράγματα, ἐνέχονται εἰς τὸν περὶ βίας δημοσίας νόμον.

10. Οἱ λεγόμενοι νεωτερικοὶ καὶ οἱ διεγείροντες εἰς τὸν λαὸν θορύβους, εἰ μὲν εἰδοποιηθέντες ἀπὸ τὸν δικαστὴν ἐπιμένουσιν εἰς τὰ αὐτὰ ἐξορίζονται· εἰ δὲ ἔπραξαν πολλοὺς θορύβους καὶ ἀταξίας καὶ πολλάκις συλληφθέντες καὶ τιμωρηθέντες πρότερον ἐπιμένουσιν εἰς τὴν αὐτὴν προπέτειαν, δαίρονται κουρεύονται καὶ καθυποβάλ-

κῶς ἐξοριζέσθωσαν. Εἰ δὲ καὶ οὐχ ὑπεμνήσθησαν παρὰ τοῦ ἄρχοντος, ῥαπαλίζονται μόνον καὶ ἀπολύονται. (B. LX. 51. 26.)

11. Ὁ μετατιθεὶς ὅρια εἰ μὲν νεώτερος εἴη, εἰς χρόνον μακρότερον ἐξορίζεται, εἰ δὲ γέρων εἰς ἧττονα. Ὁ δὲ ἑτέρῳ ὑπουργήσας τύπτεται καὶ ἐπὶ διετίαν εἰς ἔργον δημόσιον πέμπεται. Ὁ δὲ κατὰ ἄγνοιαν ἢ τυχηρῶς τοὺς ὁριαίους λίθους μετατιθεὶς μαστιγοῦται μόνον. (B. LX. 31. 2.)

12. Ὁ ὅρους δόλῳ μετατιθεὶς καθ' ἕκαστον ὁροθέσιον τῷ μέρει τοῦ δημοσίου πεντήκοντα ζημιοῦται νομ.· εἰ δὲ δοῦλος ἢ δούλη πλημμελήσουσι ταῦτα, κεφαλικῶς τιμωρεῖται, εἰ μὴ ὁ δεσπότης τὴν ὑπὲρ τούτων ποινὴν καταβάλλεται. (B. LX. 31. 3.)

13. Ὁ τὸν ὅρον τοῦ ἔτι ἀμρισβητησίμου πρὸ δίκης τελείας κατασχὼν, εἰς τὸ διπλοῦν αὐτὸν ζημιοῦται· καὶ δίδωσιν αὐτόν τε τὸν τόπον τῷ νενικηκότι καὶ ἕτερον τοσοῦτον· εἰ δὲ ἴδιος ἦ αὐτῷ ὁ τόπος, ἀρκεῖ πρὸς τιμωρίαν τὸ ἐκπεσεῖν αὐτοῦ. (B. LX. 31. 4.)

ΤΙΤΛ. Η'. — Περὶ Αὐτομόλων καὶ 'Ανδραποδιστῶν.

1. Τοὺς ἐκ τῶν Ρωμαίων πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν. (B. LX. 39. 3.)

2. Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες καὶ τὰς ἡμετέρας βουλὰς ἀπαγγέλλοντες εἰς φοῦρκαν ἀναρτῶνται ἢ καίονται.

3. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες ξίφει τιμωρείσθωσαν. (B. LVII. 1. 16.)

4. Εἴ τις αὐτόμολος εἰς τὴν πατρίδα ἐπαναδράμοι, ἅπαξ μὲν τοῦτο ποιήσας συγγνώμης τυγχανέτω· δεύτερον δὲ εἰς τριετῆ δουλείαν διαπωλείσθω· ἐκ τρίτου δὲ ποιησάμενος τὴν αὐτομολίαν, εἶτα ἐπαναζεύξας εἰς δηνεκῆ καὶ ἄδον οἰκετείαν πιπρασκέσθω. Εἰ δὲ ληφθεὶς ὑφ' ἑτέρων εἰς τὴν πατρίδα ἐπαναχθῇ καὶ μάλιστα, εἰ αἵματος ἐμφυλίου τὴν δεξιὰν ἔχει μεμολυσμένην,

λονται εἰς ἀειφυγίαν. Εἰ δὲ καὶ ἀπὸ τὸν δικαστὴν δὲν εἰδοποιήθησαν μαστιγοῦνται μόνον καὶ ἀπολύονται.

11. Ὁ μεταθέτων σύνορα εἰ μὲν εἶναι νεώτερος, ἐξορίζεται διὰ πλειότερον χρόνον, εἰ δὲ γέρων δι' ὀλιγώτερον. Ὁ δὲ συνεργήσας ἄλλον δαίρεται καὶ ἀποστέλλεται δύο ἔτη εἰς δημόσιον ἔργον. Ὁ δὲ μεταθέτων κατ' ἄγνοιαν ἢ κατὰ τύχην τοὺς λίθους τῶν συνόρων μαστιγοῦται μόνον.

12. Ὁ κατὰ δόλον μεταθέτων σύνορα δι' ἕκαστον ὁροθέσιον ζημιοῦται πεντήκοντα νομίσματα καταβαλλόμενα πρὸς τὸ δημόσιον· εἰ δὲ δοῦλος ἢ δούλη πράξωσι ταῦτα, κεφαλικῶς τιμωροῦνται, ἐὰν ὁ δεσπότης δὲν καταβάλῃ τὸ ὑπὲρ τούτων τίμημα.

13. Ὁ πρὸ τελείας δίκης καταλαβὼν τὸ σύνορον τοῦ διαφιλονεικουμένου εἰσέτι ἀγροῦ, ζημιοῦται εἰς τὸ διπλάσιον· καὶ δίδει εἰς τὸν νικήσαντα τὸν τόπον αὐτὸν καὶ ἄλλον τόσον· εἰ δὲ ὁ τόπος ἦτον ἰδικός του, ἀρκεῖ πρὸς τιμωρίαν νὰ ἐκπέσῃ ἀπὸ τὴν κυριότητα αὐτοῦ.

ΤΙΤΛ. Η'. — Περὶ αὐτομόλων καὶ ἀνδραποδιστῶν.

1. Τοὺς φεύγοντας ἀπὸ τοὺς Ρωμαίους πρὸς τοὺς πολεμίους ἔχει ἕκαστος ἄδειαν νὰ φονεύῃ ἀκινδύνως ὡς πολεμίους.

2. Οἱ αὐτομολοῦντες πρὸς τοὺς πολεμίους καὶ μηνύοντες τὰς βουλὰς ἡμῶν ἀνασκολοπίζονται ἢ καίονται.

3. Οἱ πολέμιοι καὶ οἱ αὐτομολοῦντες πρὸς αὐτοὺς μὲ ξίφος τιμωροῦνται.

4. Ἐὰν αὐτόμολος ὑποστρέψῃ εἰς τὴν πατρίδα, εἰ μὲν ἔπραξε τοῦτο ἅπαξ, συγχωρεῖται· εἰ δὲ δίς, πωλεῖται εἰς τριῶν ἐτῶν δουλείαν· εἰ δὲ ηὐτομόλησεν ἐκ τρίτου καὶ ἔπειτα ὑπέστρεψε, πωλεῖται εἰς παντοτεινὴν δουλείαν. Εἰ δὲ ἄλλοι τὸν συλλάβωσι καὶ τὸν φέρωσιν εἰς τὴν πατρίδα καὶ μάλιστα, ἂν αὐτὸς ἐμόλυνε τὴν

τοῦτον θανάτῳ κολάζειν, οἷα δὴ πολέμιον, οὔτε ἄδικον οὔτε ἀπότομον.

5. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ παραδιδοὺς πολεμίοις Ρωμαίους κεφαλικῶς τιμωρεῖται.

6. Ὁ διδάσκων τοὺς βαρβάρους ναῦς κατασκευάζειν κεφαλικῇ τιμωρίᾳ ὑπόκειται. (Β. LX. 51. 62.)

7. Δοῦλοι ἢ ἐλεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους διαιρόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν. (Β. LX. 48. 20.)

ΤΙΤΛ. Θ'. — Περὶ Συκοφαντῶν καὶ τῶν φλυαρίαν εὑρισκόντων.

1. Ἡ διάταξις βούλεται τὸν συκοφαντήσαντα ἐπὶ δημοσίῳ ἐγκλήματι καὶ ἀτιμοῦσθαι καὶ περιορίζεσθαι, μόνον μέντοι ἐὰν ἀλλοτρίαν κατηγορίαν ἐκίνησεν ὡς ἰδίαν αἰτίαν. (Β. LX. 1. 35.)

2. Ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον τριάκοντα χρυσίου λίτρας προτιμάσθω τῷ δημοσίῳ. (Β. III. 1. 2.)

3. Ὁ συκοφαντήσας τῇ ταυτοπαθείᾳ ὑπόκειται.

4. Ὁ συκοφάντης κατ' οὐδένα τρόπον κερδαίνει· οὔτε ἐὰν λάβῃ ἵνα μὴ συκοφαντήσῃ τινά. (Β. LX. 1. 3.)

5. Ὁ εὑρίσκων φλυαρίαν ἐσφραγισμένην ἢ ἀσφράγιστον καὶ μὴ παραχρῆμα καίων, ἀλλ' ἀναγινώσκων ὑποκείσθω τῇ τιμωρίᾳ, ᾗ τινι ὑπέκειτο καὶ ὁ συνθετικῶς τὴν φλυαρίαν. Φλυαρία δέ ἐστιν ὁ ῥιπτόμενος χάρτης καὶ κατηγορίας ἔχων κατά τινος.

6. Ὁ εὑρίσκων φλυαρίαν μηδενὶ ἑτέρῳ λεγέτω τὴν δύναμιν αὐτῆς, ἀλλὰ διαρρήξει ἢ καύσει αὐτήν· ὁ δὲ μὴ ταῦτα ποιήσας κεφαλικῇ τιμωρίᾳ ὑποβληθήσεται. (Β. LX. 63. 1.)

δεξιάν του εἰς ἐμφύλιον αἷμα, δὲν εἶναι ἄδικον οὐδὲ σκληρὸν νὰ τιμωρῆται ὁ τοιοῦτος μὲ θάνατον ὡς πολέμιος.

5. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ παραδίδων τοὺς Ρωμαίους πρὸς τοὺς πολεμίους κεφαλικῶς τιμωρεῖται.

6. Ὁ διδάσκων τοὺς βαρβάρους νὰ ναυπηγῶσιν ὑπόκειται εἰς κεφαλικὴν τιμωρίαν.

7. Δοῦλοι ἢ ἐλεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους δαίρονται, κουρεύονται καὶ χειροκοποῦνται.

ΤΙΤΛ. Θ'. — Περὶ συκαφαντῶν καὶ τῶν εὑρισκόντων φλυαρίαν.

1. Κατὰ τὴν διάταξιν ὁ συκοφάντης εἰς δημόσιον ἔγκλημα καὶ ἀτιμοῦται καὶ περιορίζεται, μόνον ὅμως ἂν ἐκίνησεν ἀλλοτρίαν κατηγορίαν ὡς ἰδίαν του διαφοράν.

2. Ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον καταβάλλει πρόστιμον εἰς τὸ δημόσιον ταμεῖον τριάκοντα χρυσίου λίτρας.

3. Ὁ συκοφάντης ὑπόκειται εἰς τὴν ταὐτοπάθειαν.

4. Ὁ συκοφάντης δὲν κερδαίνει κατ' οὐδένα τρόπον· οὔτε ἐὰν λάβῃ διὰ νὰ συκοφαντήσῃ, οὔτε ἐὰν λάβῃ διὰ νὰ μὴ συκοφαντήσῃ τινά.

5. Ὁ εὑρίσκων φλυαρίαν ἐσφραγισμένην ἢ ἀσφράγιστον, ἐὰν δὲν τὴν καίῃ ἀμέσως, ἀλλὰ τὴν ἀναγινώσκῃ, ὑπόκειται εἰς τὴν αὐτὴν τιμωρίαν, εἰς τὴν ὁποίαν καὶ ὁ συνθέτης τῆς φλυαρίας. Φλυαρία δὲ λέγεται τὸ ῥιπτόμενον ἐκεῖνο χαρτίον, τὸ ὁποῖον περιέχει κατηγορίαν κατά τινος.

6. Ὁ εὑρίσκων φλυαρίαν ὀφείλει νὰ μὴ λέγῃ πρὸς κανένα ἄλλον τὰ διαλαμβανόμενα, ἀλλὰ νὰ τὴν σχίζῃ ἢ νὰ τὴν καίῃ· ὁ δὲ μὴ πράξας ταῦτα ὑπόκειται εἰς κεφαλικὴν τιμωρίαν.

ΤΙΤΛ. Γ. — Περὶ φαρμακῶν, γοήτων καὶ μάντεων.

1. Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται ὁ ποιήσας φάρμακον ἐπὶ ἀναιρέσει ἀνθρώπου ἢ ἐσχηκὼς ἢ πωλήσας.

2. Εἴ τις ἐλεύθερος ἢ δοῦλος ἐπὶ οἱαδήποτε προφάσει δώσει ποτὸν εἴτε γυνὴ ἀνδρὶ εἴτε ἀνὴρ γυναικὶ εἴτε δοῦλος δεσπότῃ καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀσθενείᾳ περιπέσῃ ὁ τὸ ποτὸν ἐκπιὼν καὶ συμβῇ ἐκ τούτου καταρρεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω.

3. Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ ἐπὶ φιλίᾳ τοῦ δοκεῖν ἀνθρώπων, δημευόμενοι ἐξορίζέσθωσαν. (B. LX. 39. 30).

4. Ὁ συνειδὼς τινι γοητείαν κατασχὼν αὐτὸν τῇ δημοσίᾳ ὄψει παραδιδότω· εἰ δέ τις οἱοσδήποτε ἄνθρωπος συλλαβόμενος τοῦτον μὴ παραδώσει, ἐσχάτην ὑπομενέτω τιμωρίαν.

5. Οἱ διὰ γοητείας σώρρονας λογισμοὺς πρὸς ἔρωτας στρέφοντες δημεύσει καὶ ἐξορίᾳ καθυποβάλλονται· εἰ δὲ καὶ πρὸς πρόσωπον ὑπερέχον τοῦτο τολμήσουσι, τῇ διὰ ξίφους τιμωρίᾳ ὑπόκεινται. (B. LX. 39. 25.)

6. Τὸ διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται· ὁ δὲ τοιοῦτος ξίφει τιμωρείσθω.

7. Οἱ τὰ φίλτρα ποιοῦντες δημευόμενοι τὸν βίον καὶ πᾶσαν τὴν περιουσίαν ἐξορίζονται. Φίλτρα δέ εἰσι τὰ φιλίας καὶ ἀγάπης ποιητικά, δι' ὧν, ὡς φλυαροῦσί τινες, δύναταί τις ἑλκεῖν τινὰ πρὸς τὸ ἀγαπᾶν αὐτόν. (B. LX. 51. 34.)

8. Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξουσι, ξίφει τιμωρείσθωσαν.

9. Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τὰς χεῖρας καὶ τοὺς πόδας τέμνεσθαι.

ΤΙΤΛ. Γ. — Περὶ φαρμακέων, γοήτων καὶ μάντεων.

1. Ὁ κατασκευάσας φάρμακον πρὸς θάνατον ἀνθρώπου ἢ λαβὼν τοῦτο ἢ πωλήσας ἐνέχεται εἰς τὸν περὶ ἀνδροφόνων νόμον.

2. Ἐάν τις ἐλεύθερος ἢ δοῦλος κατὰ οἱανδήποτε πρόφασιν δώσῃ ποτὸν εἴτε γυνὴ πρὸς ἄνδρα εἴτε ἀνὴρ πρὸς γυναῖκα εἴτε δοῦλος πρὸς δεσπότην καὶ ἀπὸ τὴν τοιαύτην αἰτίαν ὁ πιὼν τὸ ποτὸν περιπέσῃ εἰς ἀσθένειαν καὶ συμβῇ ἐκ τούτου νὰ μαρανθῇ καὶ νὰ ἀποθάνῃ, ὁ ποτίσας μὲ ξίφος τιμωρεῖται.

3. Οἱ κατασκευάζοντες τὰ λεγόμενα φυλακτὰ ἤτοι περίαπτα πρὸς φιλίαν τάχα ἀνθρώπων, δημευόμενοι ἐξορίζονται.

4. Ὁ γνωρίζων τινὰ ὡς γόητα, ἐὰν τὸν συλλάβῃ, τὸν παραδίδει πρὸς θεατρισμόν· εἰ δὲ ὁ συλλαβὼν αὐτόν, ὁποιοσδήποτε καὶ ἂν ἦναι, δὲν τὸν παραδώσῃ, ὑπόκειται εἰς ἐσχάτην τιμωρίαν.

5. Οἱ διατρέφοντες μὲ γοητείαν σώφρονας λογισμοὺς πρὸς ἔρωτας καθυποβάλλονται εἰς δήμευσιν καὶ ἐξορίαν· εἰ δὲ καὶ τολμήσωσι τοῦτο πρὸς πρόσωπον ὑπερέχον, ὑπόκεινται εἰς τὴν διὰ ξίφους τιμωρίαν.

6. Ἡ διὰ θυσιῶν μαντεία ἀπαγορεύεται· ὁ δὲ τοιοῦτος μάντης μὲ ξίφος τιμωρεῖται.

7. Οἱ κατασκευάζοντες τὰ φίλτρα μετὰ τὴν δήμευσιν τῶν ὑπαρχόντων καὶ ὅλης τῆς περιουσίας των ἐξορίζονται. Φίλτρα δὲ εἶναι τὰ ποιητικὰ καὶ πρόξενα φιλίας καὶ ἀγάπης, μὲ τὰ ὁποῖα, καθὼς τινες φλυαροῦσι, δύναταί τις νὰ ἐπισύρῃ ἄλλον πρὸς ἀγάπην αὐτοῦ.

8. Οἱ ἐπικαλούμενοι δαίμονας πρὸς βλάβην ἀνθρώπων, ἐὰν δὲν πράξωσι τοῦτο κατ' ἄγνοιαν, μὲ ξίφος τιμωροῦνται.

9. Ἀπαγορεύει ἡ διάταξις νὰ κόπτωνται ἀμφότεραι αἱ χεῖρες καὶ οἱ πόδες.

ΤΙΤΛ. ΙΑ'. — Περὶ Ἰουδαίων, Ἑλληνιζόντων καὶ αἱρετικῶν.

1. Ὁ ἀπὸ Χριστιανῶν Ἰουδαῖος γενόμενος δημευέσθω.

2. Ἐὰν Ἰουδαῖος Χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται. (B. LX. 54. 29.)

3. Ἐὰν Ἰουδαῖος τολμήσῃ διαστρέψαι Χριστιανικὸν λογισμὸν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ. (B. LX. 54. 30.)

4. Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος καὶ πάλιν Ἑλληνίζοντες ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται.

5. Οἱ ἀποστάντες ἐκ τῆς τῶν ὀρθοδόξων πίστεως καὶ αἱρετικοὶ γενόμενοι ἢ θύσαντες ἢ θύσαι τινὶ ἐπαγγελλόμενοι οὐ δύνανται διαθέσθαι ἢ δωρεῖσθαι, οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τι δύνανται. (B. LX. 54. 25.)

6. Ὁ ποιῶν Ἑλληνικὰς θυσίας ἢ τιμῶν εἴδωλα ἢ θυσιάζων ἢ λιβανον αὐτοῖς καίων ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλεται· ὁμοίως δὲ τιμωροῦνται καὶ οἱ συνίστορες αὐτοῦ καὶ οἱ ὑπηρέται τῶν θυσιῶν.

7. Οἱ Μανιχαῖοι χριστιανοὶ γενόμενοι, μετὰ ταῦτα τὰ τῶν Μανιχαίων διαπραττόμενοι ἢ τοῖς τοιούτοις ἐντυγχάνοντες καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. Καὶ οἱ ἐν ἀξίοις ἢ στρατηγίαις ἢ συστήμασιν ὄντες ὀφείλουσι φροντίζειν, μή τις αὐτῶν ἐστι τοιοῦτος· ἐπείτοιγε εἰ ἴσασιν αὐτὸν καὶ μὴ παραδιδόασι, κἂν ὀρθόδοξοι ὦσιν, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλονται. (B. I. 1. 24.)

8. Οἱ Μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται. Καὶ ὅτι οὐδεὶς αὐτοὺς κληρονομεῖ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, κἂν συγγενεῖς ὦσιν ὀρθόδοξοι πλὴν παίδων· ἀλλ' εἰσκομίζονται τὰ πράγματα αὐτῶν· μόνοι γὰρ παῖδες αὐτῶν ὀρθόδοξοι ὄντες κληρονομοῦσιν αὐτούς· τὰ αὐτὰ καὶ ἐπὶ τῶν δονατιστῶν.

ΤΙΤΛ. ΙΑ'. — Περὶ Ἰουδαίων, ἑλληνιζόντων καὶ αἱρετικῶν.

1. Ὁ ἀπὸ χριστιανοὺς γινόμενος Ἰουδαῖος δημεύεται.

2. Ἐὰν Ἰουδαῖος ἀποκτήσῃ ἀνδράποδον χριστιανὸν καὶ τὸν περιτέμῃ, κεφαλικῶς τιμωρεῖται.

3. Ἐὰν Ἰουδαῖος τολμήσῃ νὰ διαστρέψῃ χριστιανικὸν λογισμὸν, ὑπόκειται εἰς κεφαλικὴν τιμωρίαν.

4. Οἱ ἀξιωθέντες τὸ ἅγιον βάπτισμα καὶ πάλιν ἑλληνίζοντες ὑπόκεινται εἰς ἐσχάτην τιμωρίαν.

5. Οἱ χωρισθέντες ἀπὸ τὴν ὀρθόδοξον πίστιν καὶ γενόμενοι αἱρετικοὶ ἢ θυσιάσαντες ἢ διατάξαντες νὰ θυσιάσωσιν εἰς εἰδωλά τινα δὲν δύνανται νὰ διαθέσωσιν ἢ νὰ δωρήσωσιν, οὐδὲ ἀπὸ διαθήκην ἢ ἐξ ἀδιαθέτου δὲν δύνανται νὰ λαμβάνωσί τι.

6. Ὁ τελῶν ἑλληνικὰς θυσίας ἢ τιμῶν εἴδωλα ἢ θυσιάζων ἢ καίων λίβανον πρὸς αὐτὰ ὑποβάλλεται εἰς ἐσχάτην τιμωρίαν. Ὡσαύτως δὲ τιμωροῦνται καὶ οἱ κοινωνοὶ αὐτοῦ καὶ τῶν θυσιῶν οἱ ὑπηρέται.

7. Οἱ Μανιχαῖοι γενόμενοι χριστιανοὶ, καὶ μετὰ ταῦτα τελοῦντες τὰ τῶν Μανιχαίων ἢ ἀνακατονόμενοι μὲ τοὺς τοιούτους καὶ μὴ παραδίδοντες αὐτοὺς πρὸς τοὺς δικαστὰς, ὑπόκεινται εἰς ἐσχάτην τιμωρίαν. Καὶ οἱ εὑρισκόμενοι εἰς ἀξιώματα ἢ στρατηγίας ἢ συλλόγους ὀφείλουσι νὰ φροντίζωσι μήπως τις αὐτῶν ἦναι τοιοῦτος· διότι γνωρίζοντες αὐτὸν καὶ μὴ παραδίδοντές τον, καὶ ὀρθόδοξοι ἐὰν ἦναι εἰς ἐσχάτην τιμωρίαν ὑποβάλλονται.

8. Οἱ Μανιχαῖοι ἐξελέγχονται καὶ μετὰ θάνατον. Καὶ κανεὶς αὐτοὺς δὲν κληρονομεῖ ἀπὸ διαθήκην ἢ ἐξ ἀδιαθέτου, καὶ συγγενεῖς ἐὰν ὑπάρχωσιν ὀρθόδοξοι ἐκτὸς τέκνων· ἀλλὰ τὰ πράγματα αὐτῶν προσκυροῦνται· διότι μόνα τὰ τέκνα, ἐὰν ἦναι ὀρθόδοξοι, κληρονομοῦσιν αὐτούς.

ΤΙΤΛ. ΙΒ'.—Περὶ δούλων καὶ τῶν ἐμπρησμοὺς ποιούντων.

1. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καίεται. (B. LX. 58. 1).

2. Πυρὶ παραδίδονται οἱ δοῦλοι, οἵτινες τῇ σωτηρίᾳ τῶν οἰκείων δεσποτῶν ἐπεβούλευσαν· κἀκεῖνοι τιμωρείσθωσαν τῶν οἰκετῶν ἀναιρεθέντος τοῦ δεσπότου, ὅσοι τῆς φωνῆς αὐτοῦ ἢ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς αἰσθόμενοι μὴ συνέδραμον, εἴτε ἐν οἴκῳ εἴτε ἐν ὁδῷ ἢ ἀγρῷ τοῦτο συνέβη. (B. LX. 51. 26.)

3. Ἐάν τις οἰκειακὸς ἢ δοῦλος ἐγκληματικῶς κατηγορῇ τοῦ ἔχοντος αὐτὸν, ἀποτεμνέσθω ἐξηρημένου τοῦ ἐπὶ καθοσιώσει κατηγοροῦντος· καὶ ὁ ἀπελεύθερος ἐγκλήματα ἐπιφέρων τῷ πάτρωνι ἢ τῷ κληρονόμῳ αὐτοῦ τὴν αὐτὴν ὑποφερέτω τιμωρίαν τοῖς δούλοις καὶ τοῖς οἰκειακοῖς. (B. LX. 31. 42.)

4. Ἐάν τις εἰδὼς οἰκήματα ἐμπρήσῃ ἢ σωρὸν σίτου πλησίον οἰκήματος κείμενον, ἐλεγχόμενος πυρὶ παραδίδοται· εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξηται, χειροκοπιέσθω. (B. LX. 39. 6.)

